# ΑΙΣΩΠΟΥ
# ΤΟΥ
# ΦΡΥΓΟΣ
## ΒΙΟΣ ΚΑΙ ΜΥΘΟΙ

ΜΕΤΑ ΤΗΣ ΧΡΗΣΤΟΗΘΕΙΑΣ

ΑΝΤΩΝΙΟΥ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ

ΚΑΙ ΑΛΛΩΝ ΩΦΕΛΙΜΩΝ.

*ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ.*

2121

ΕΝΕΤΙῌΣΙΝ.

ΠΑΡΑ ΠΑΝΩ ΘΕΟΔΟΣΙΟΥ ΤΩ ΕΞ ΙΩΑΝΝΙΝΩΝ.

1813.

# ΑΙΣΩΠΟΥ ΤΟΥ ΜΥΘΟΠΟΙΟΥ ΒΙΟΣ

## ΜΑΞΙΜΩ ΤΩ ΠΛΑΝΟΥΔΗ ΣΥΓΓΡΑΦΕΙΣ.

Πραγμάτων φύσιν τῶν ἐν ἀνθρώποις ἠκρίβωσαν μὲν καὶ ἄλλοι, καὶ τοῖς μετ᾽ αὐτοὺς παρέδωκαν φέροντες. Αἴσωπος δὲ δοκεῖ μὴ πόῤῥω θειοτέρας ἐπιπνοίας τῆς ἠθικῆς Διδασκαλίας ἁψάμενος, πολλῷ τῷ μέτρῳ τοὺς πολλοὺς αὐτῶν παρελάσαι. Καὶ γὰρ οὔτ᾽ ἀποφαινόμενος, οὔτε συλλογιζόμενος, οὔτε μὴν ἐξ Ἱστορίας, ἣν ὁ πρὸ τῆς κατ᾽ αὐτὸν ἡλικίας ἤνεγκε χρόνος, τὴν νουθεσίαν διατιθέμενος, ἀλλὰ Μύθοις τὰ πάντα παιδοτριβῶν, οὕτω τὰς τῶν ἀκροωμένων ἀγρεύει ψυχάς, ὡς αἰσχύνεσθαι τοὺς λογικοὺς ποιεῖν, ἢ φρονεῖν, ἃ μήτ᾽ ὄρνιθες, μήτ᾽ ἀλώπεκες· καὶ αὖ πάλιν μὴ προσέχειν ἐκείνοις, οἷς πολλὰ τῶν ἀλόγων ἐν καιρῷ συνεχῶς προσεσχηκότα μυθεύεται, ἐξ ὧν ἃ μὲν κινδύνους ἐπηρτημένους αὐτοῖς διέδρα, ἃ δὲ μεγίστης ἐν τοῖς καιρίοις τῆς ὠφελείας ἔτυχεν.

Οὗτος τοίνυν ὁ τὸν καθ᾽ αὑτὸν βίον φιλοσόφου πολιτείας εἰκόνα προθέμενος, καὶ ἔργοις μᾶλλον, ἢ λόγοις φιλοσοφήσας, τὸ μὲν γένος ἐξ Ἀμορίου τῆς Φρυγίας κατῆγε τῆς μεγάλης ἐπίκλησιν, τὴν δὲ τύχην

γέγονε δοῦλος. Ἐφ' ὧν καὶ σφόδρα μοι δοκεῖ, τὸ τοῦ Πλάτωνος ἐν Γοργίᾳ καλῶς ἅμα, καὶ ἀληθῶς εἰρῆσθαι· ὡς τὰ πολλὰ γὰρ ταῦτα, φησὶν, ἐναντία ἀλλήλοις ἐστὶν, ἥ τε Φύσις καὶ ὁ Νόμος. Αἰσώπου γὰρ τὴν ψυχὴν ἡ μὲν Φύσις ἐλευθέραν ἀπέδωκεν, ὁ δὲ παρ' ἀνθρώπων Νόμος τὸ σῶμα πρὸς δουλείαν ἀπέδοτο· ἴσχυσε μέν τοι οὐδ' οὕτω τὴν τῆς ψυχῆς ἐλευθερίαν λυμήνασθαι. Ἀλλὰ καίτοι πρὸς πολλὰ, καὶ πολλαχόσε μεταφέρων τὸ σῶμα, τῆς οἰκείας ἐκείνην ἕδρας οὐχ οἷός τ' ἐγένετο μεταστῆσαι. Ἐτύγχανε δ' ὢν οὐ μόνον δοῦλος, ἀλλὰ καὶ δυσειδέστατα τῶν ἐπ' αὐτοῦ πάντων ἀνθρώπων εἶχε. Καὶ γὰρ φοξὸς ἦν, σιμὸς τὴν ῥῖνα, σιμὸς τὸν τράχηλον, πρόχειλος, μέλας· ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε· (ταὐτὸν γὰρ Αἴσωπος τῷ Αἰθίοπι.) προγάστωρ, βλαισὸς, καὶ κυφός· τάχα καὶ τὸν Ὁμηρικὸν Θερσίτην τῇ αἰσχρότητι τοῦ εἴδους ὑπερβαλλόμενος. Τὸ δὲ δὴ πάντων ἐν αὐτῷ χείριστον ἦν τὸ βραδύγλωσσον, καὶ τὸ τῆς φωνῆς ἄσημόν τε, καὶ ἀδιάρθρωτον· ἃ πάντα καὶ δοκεῖ τὴν δουλείαν Αἰσώπῳ παρασκευάσαι. Καὶ γὰρ δὴ καὶ θαῦμα ἂν ἦν, εἰ οὕτως ἀτόπως ἔχοντι τοῦ σώματος ἐξεγένετο τὰς τῶν δουλευόντων ἄρκυς διαφυγεῖν. Ἀλλὰ τὸ μὲν σῶμα τοιοῦτον ἦν τῷ ἀνδρί· τὴν δὲ ψυχὴν ἀγχινούστατος ἐπεφύκει, καὶ πρὸς ἐπίνοιαν πᾶσαν ἐπιβολώτατος.

Ὁ κεκτημένος τοίνυν αὐτὸν, ἅτε πρὸς οὐδὲν οἰκίας ἔργον οἰκείως ἔχοντα, σκάπτειν εἰς ἀγρὸν ἐξαπέστειλεν· ὁ δ' ἀπελθὼν, προθύμως τοῦ ἔργου εἴχετο. Ἀφικομένῳ δέ ποτε καὶ τῷ Δεσπότῃ πρὸς τὸν ἀγρὸν, ἐφ' ᾧ τῶν ἔργων ἐπισκοπὴν θέσθαι, γεωργός τις σῦκα τῶν ἀγαθῶν δρεψάμενος, δῶρον ἤνεγκεν. Ὁ δ' ἐπὶ τῷ τῆς ὀπώρας ἤθει ὡραίῳ, Ἀγαθόποδι τῷ οἰκέτῃ (τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδὶ) φυλάττειν ἐ-

κέ-

SISMANOGLIO MEGARO



κέλευσεν, ὡς αὐτῷ μετὰ τὸ λουτρὸν παραθεῖναι. Συμβὰν δ' οὕτω, καὶ τοῦ Αἰσώπου κατά δέ τινα χρείαν εἰσελθόντος εἰς τὴν οἰκίαν, ἀφορμῆς ὁ Ἀγαθόπους λαβόμενος, βουλὴν τοιάνδε τῶν συνδούλων τινὶ προτείνει. Ἐμφορηθῶμεν, εἰ δοκεῖ, τῶν σύκων, ὦ οὗτος· κἂν ὁ Δεσπότης ἡμῶν ταῦτα ζητήσῃ, ἀλλ' ἡμεῖς τοῦ Αἰσώπου καταμαρτυρήσομεν ἄμφω, ὡς εἰς τὴν οἰκίαν εἰσδραμόντος, καὶ τὰ σῦκα λάθρα καταφαγόντος, καὶ ἐπ' ἀληθεῖ θεμελίῳ τῇ πρὸς τὸν οἶκον εἰσόδῳ, πολλὰ τῶν ψευδῶν ἐποικοδομήσομεν, καὶ τὸ μηδὲν ἔσται ὅγε εἷς πρὸς τοὺς δύο, καὶ ταῦτα μηδ' ἄνευ ἐλέγχων διᾶραί ποτε τὴν γλῶτταν δύναμιν ἔχων. Δόξαντος δὴ τούτου, πρὸς τοὔργον ἐχώρησαν, καὶ τῶν σύκων ἐσθίοντες, ἔλεγον ἐφ' ἑκάστῳ σὺν γέλωτι· φεῦ σοι δύστηνε Αἴσωπε. Ὁ τοίνυν Δεσπότης ἐπανελθὼν ἀπὸ τοῦ λουτροῦ, καὶ τὰ σῦκα ζητήσας, καὶ ἀκούσας, ὡς Αἴσωπος αὐτὰ κατεδήδοκε, τόν τε Αἴσωπον σὺν ὀργῇ κελεύει κληθῆναι, καὶ κληθέντι φησί· λέγε μοι, ὦ κατάρατε, οὕτω μου κατεφρόνησας, ὡς εἰς τὸ ταμιεῖον εἰσελθεῖν, καὶ τὰ ἑτοιμασθέντα μοι σῦκα θοινήσασθαι; Ὁ δὲ ἀκούων μὲν, καὶ συνιεὶς δ' ἦν, λαλεῖν δὲ εἶχεν οὐδ' ὁπωσοῦν διὰ τὸ βραδύγλωσσον· μέλλων δὲ ἤδη τύπτεσθαι, τῶν κατηγόρων σφοδροτέρων ἐπικειμένων, πεσὼν πρὸς τοὺς τοῦ Δεσπότου πόδας, ἀνασχέσθαι μικρὸν ἐδεῖτο. Δραμὼν δὲ, καὶ χλιαρὸν ὕδωρ προσενεγκὼν, τοῦτό τε πέπωκε, καὶ τοὺς δακτύλους εἰς τὸ στόμα καθεὶς, αὖθις τὸ ὑγρὸν μόνον ἀνέβαλεν· οὔπω γὰρ τροφῆς ἁψάμενος ἐτύχεν· ἠντιβόλει γοῦν αὐτὸ τοῦτο καὶ τοὺς διακονοῦντας δρᾶσαι, ὡς ἂν δῆλον γένηται, τίς ὁ τὰ σῦκα διαφορήσας. Ὁ δὲ Δεσπότης τὸ νόημον αὐτοῦ θαυμάσας, οὕτω ποιεῖν καὶ τοὺς ἄλλους ἐπέταξεν· οἱ δ' ἐβουλεύσαν-

το

τὸ πιεῖν μὲν ὕδατος, μὴ μέντοι καθεῖναι κατὰ τοῦ λαιμοῦ τοὺς δακτύλους, ἀλλ' ἐπὶ τὰ πλάγια τῶν γνάθων αὐτοὺς παραφέρειν. Οὐκ ἔφθασαν δὲ πιόντες, καὶ τὸ χλιαρὸν ὕδωρ ἐκεῖνο, ναυτίαν τοῖς πεπωκόσι παραχρῆμα ἐπενεγκὸν, αὐτομάτην παρέσχε τὴν ὀπώραν ἀναδοθῆναι. Τότε τοίνυν πρὸ ὀφθαλμῶν πεσόντος τοῦτε κακουργήματος τῶν οἰκετῶν, καὶ τῆς συκοφαντίας, ὁ μὲν Δεσπότης ἐκέλευσεν αὐτοὺς γυμνωθέντας μαστίζεσθαι, οἱ δ' ἐπέγνωσαν σαφῶς κατὰ τὸν εἰπόντα, ὡς ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτῷ λέληθε τὸ κακὸν ἀρχιτεκτονῶν.

Τῇ δ' ἐπιούσῃ, τοῦ μὲν Δεσπότου εἰς ἄστυ ἐπαναζεύξαντος, τοῦ δ' Αἰσώπου σκάπτοντος, ᾗ προσετάχθη, ἱερεῖς τῆς Ἀρτέμιδος, εἴτ' ἄλλοι τινὲς ἄνθρωποι, τῆς ὁδοῦ πλανηθέντες, καὶ τῷ Αἰσώπῳ περιτυχόντες, προὐτρέποντο πρὸ Διὸς ξενίου τὸν ἄνδρα, τὴν εἰς ἄστυ φέρουσαν αὐτοῖς ὑποδεῖξαι. Ὁ δ' ὑπὸ σκιὰν δένδρου τοὺς ἄνδρας ἀπαγαγὼν πρότερον, καὶ λιτὸν παραθέμενος δεῖπνον, εἶτα καὶ ἡγησάμενος αὐτοῖς, εἰς ἣν ἐζήτουν ὁδὸν εἰσήνεγκεν. Οἱ μὲν οὖν, τοῦτο μὲν ἐπὶ τῇ ξενίᾳ, τοῦτο δὲ καὶ ἐπὶ τῇ ὁδηγίᾳ, διαφερόντως τοῦ ἀνδρὸς ἐξαρτηθέντες, τάς τε χεῖρας εἰς οὐρανὸν ἦραν, καὶ εὐχῇ τὸν εὐεργέτην ἠμείψαντο. Αἴσωπος δ' ὑποστρέψας, καὶ εἰς ὕπνον καταπεσὼν ὑπό τε τοῦ συνεχοῦς πόνου, καὶ καύματος, ἔδοξεν ἰδεῖν τὴν Τύχην ἐπιστᾶσαν αὐτῷ, καὶ λύσιν τῆς γλώττης, καὶ λόγου δρόμον, καὶ σοφίαν τὴν τῶν μύθων χαριζομένην. Εὐθὺς οὖν διϋπνισθείς φησι· βαβαὶ, πῶς ἡδέως κεκοίμημαι! ἀλλὰ καὶ καλὸν ὄνειρον ἰδεῖν ἔδοξα, καὶ ἰδοὺ ἀκωλύτως λαλῶ, βοῦς, ὄνος, δίκελλα. Νὴ τοὺς Θεοὺς, συνῆκα πόθεν μοι τἀγαθὸν προσεγένετο τοῦτο· εὐσεβήσας γὰρ εἰς τοὺς ξένους, ἀντιλαμβανομέ-





νου τοῦ κρείττονος ἔτυχον· ἄρ' οὖν τὸ εὐποιεῖν ἀγαθῶν ἐστὶ πλῆρες ἐλπίδων.

Οὕτω μὲν οὖν Αἴσωπος ὑπερησθεὶς τῷ πράγματι, πάλιν ἤρξατο σκάπτειν. Τοῦ δ' ἐφεστηκότος τῷ ἀγρῷ (Ζηνᾶς ἦν αὐτῷ τοὔνομα) πρὸς τοὺς ἐργαζομένους ἐλθόντος, καὶ τούτων ἕνα, ἐπειδὴ μικρὸν ἐσφάλη τοῦ ἔργου, τῇ ῥάβδῳ πατάξαντος, Αἴσωπος παραχρῆμα ἀνέκραγεν· ἄνθρωπε, τοῦ χάριν τὸν μηδὲν ἠδικηκότα οὕτως αἰκίζῃ, καὶ πᾶσιν εἰκῇ πληγὰς ἐμφορεῖς δι' ἡμέρας; πάντως ἀναγγελῶ ταῦτα τῷ κεκτημένῳ. Ζηνᾶς δὲ ταῦτα τοῦ Αἰσώπου ἀκούσας, ἐξεπλάγη τε οὐ μέσως, καὶ πρὸς ἑαυτὸν εἶπεν· Αἴσωπος λαλεῖν ἀρξάμενος, οὐδὲν ἐμὸν ὄφελός ἐστι· φθάσας τοίνυν αὐτὸς, κατηγορήσω αὐτοῦ ἐπὶ τοῦ Δεσπότου, πρὶν αὐτὸς τοῦτ' αὐτὸ δράσῃ, καί με ὁ Δεσπότης τῆς ἐπιτροπῆς παραλύσῃ. Ταῦτ' εἰπών· εὐθὺς τῆς πόλεως πρὸς τὸν Δεσπότην ἤλαυνε. Καὶ δὴ σὺν θορύβῳ προσελθὼν, χαῖρέ φησι, Δέσποτα. Ὁ δὲ, τί τεθορυβημένος πάρει, φησί; Καὶ ὁ Ζηνᾶς, χρῆμά τι τερατῶδες ἐν τῷ ἀγρῷ συνέβη. Καὶ ὁ Δεσπότης· ἦπου τι δένδρον παρὰ καιρὸν καρπὸν ἤνεγκεν; ἢ τῶν κτηνῶν τι παρὰ φύσιν ἐγέννησε; Καὶ ὅς· οὐχ οὕτως, ἀλλ' Αἴσωπος ἄναυδος τὸ πρότερον ὢν, νυνὶ λαλῶν ἤρξατο. Καὶ ὁ Δεσπότης· οὕτω σοι μηδὲν τῶν ἀγαθῶν γένοιτο, τοῦτο νομίζοντι τέρας εἶναι. Ὁ δὲ, καὶ μάλα, φησὶν, ἃ μὲν εἰς ἐμὲ περιύβρισεν, ἑκὼν παρίημι, Δέσποτα· εἰς δέ σε, καὶ Θεοὺς οὐ φορητὰ βλασφημεῖ. Ἐπὶ τούτοις ὀργῇ ληφθεὶς ὁ Δεσπότης, τῷ Ζηνᾷ φησιν· ἰδού σοι παραδέδοται Αἴσωπος, ἀπόδου, δώρησαι, ὃ βούλει ἐπ' αὐτῷ ποίησον. Τοῦ δὲ Ζηνᾶ ἐπ' αὐτῷ γενόμενον παραλαβόντος τὸν Αἴσωπον, καὶ τὴν κατ' αὐτοῦ δεσποτείαν αὐτῷ ἀ-

ναγγείλαντος, ἐκεῖνος, ὅ,τι δήποτε βουλομένῳ σοί ἐστι, φησὶν, ἔργασαι.

Κατὰ δὲ δή τινα τύχην ἀνδρός τινος κτήνη ζητοῦντος πρίασθαι, καὶ διὰ ταῦτα τὸν ἀγρὸν διϊόντος ἐκεῖνον, καὶ τὸν Ζηνᾶν ἐρομένου, ἐκεῖνος θρέμμα μὲν οὐκ ἔστι μοι φησὶν ἀποδόσθαι, σωμάτιον δὲ ἄρρεν, ὅπερ εἰ θέλεις ὠνήσασθαι, πάρεστι. Τοῦ δὲ ἐμπόρου φήσαντος ὑποδειχθῆναι αὐτῷ τὸ σωμάτιον, καὶ τοῦ Ζηνᾶ τὸν Αἴσωπον μεταπεμψαμένου, ὁ ἔμπορος ἰδὼν αὐτὸν, καὶ ἀνακαγχάσας, πόθεν σοι, φησὶ πρὸς τὸν Ζηνᾶν, ἥδε ἡ χύτρα; πότερον στέλεχός ἐστι δένδρου, ἢ ἄνθρωπος; οὗτος εἰ μὴ φωνὴν εἶχεν, οὐδὲν ἂν ἔδει μὴ οὐχὶ δοκεῖν ἀσκοκήλη· ἵνα τί μοι τὴν πορείαν διέκοψας τουτουῒ τοῦ καθάρματος ἕνεκεν; Ταῦτ' εἰπὼν, ἀπῄει τὴν ἑαυτοῦ ὁδόν. Ὁ δ' Αἴσωπος μεταδιώξας αὐτὸν, μεῖνόν φησιν. Ὁ δὲ μεταστραφεὶς, ἄπιθί φησιν ἀπ' ἐμοῦ ῥυπαρώτατε κύων. Καὶ ὁ Αἴσωπος· εἰπέ μοι, τίνος ἕνεκεν δεῦρο ἐλήλυθας; Καὶ ὁ ἔμπορος· κάθαρμα, ἵνα τί χρηστὸν πρίωμαι; σοῦ δὲ ἀχρήστου, καὶ σαπροῦ ὄντος, οὐ χρήζω. Καὶ ὁ Αἴσωπος· ὤνησαί με, καὶ εἴ τίς ἐστι πίστις, πολλά σε ὠφελῆσαι οἷός τ' εἰμι. Καὶ ὃς, τί δ' ἂν ὀναίμην, συγήματος ὄντος αὐτόχρημα; Καὶ ὁ Αἴσωπος· οὐ πάρεσί σοι παιδία οἴκοι ἀτακτοῦντα, καὶ κλαίοντα; τούτοις ἐπίστησόν με παιδαγωγὸν, καὶ πάντως αὐτοῖς ἀντὶ μορμοῦς ἔσομαι. Γελάσας οὖν ἐπὶ τούτῳ ὁ ἔμπορος, φησὶ τῷ Ζηνᾷ· πόσου τὸ κακὸν τοῦτο πωλεῖς ἀγγεῖον; Ὁ δὲ τριῶν φησιν ὀβολῶν. Ὁ δὲ ἔμπορος αὐτίκα τοὺς τρεῖς ὀβολοὺς κατεβάλετο, λέγων· οὐδὲν κατεθέμην, καὶ οὐδὲν ἐπριάμην.

Ὁδευσάντων τοιγαροῦν, καὶ ἀφικομένων αὐτῶν οἴκαδε, παιδάρια δύο ἔτι ὑπὸ μητρὶ τελοῦντα, τὸν

Αἰ-

SISMANOGLIO MEGARO



Αἴσωπον ἰδόντα, καὶ συγχυθέντα ἀνέκραξαν· καὶ ὁ Αἴσωπος εὐθὺς τῷ ἐμπόρῳ φησίν· ἔχεις μου τῆς ἐπαγγελίας ἀπόδειξιν. Ὁ δὲ γελάσας, εἰσελθὼν, φησιν· ἄσπασαι τοὺς συνδούλους σου. Τὸν δὲ εἰσελθόντα, καὶ ἀσπασάμενον ἰδόντες ἐκεῖνοι, τίποτε ἄρα κακὸν τῷ ἡμῶν Δεσπότῃ, φασὶ συμβέβηκεν, ὅτι σωμάτιον αἰσχρὸν οὕτως ἐπρίατο; ἀλλ' ὡς ἔοικεν, ἀντὶ βασκανίου τοῦτον οἰκίας ὠνήσατο. Μετὰ δ' οὐ πολὺ καὶ ὁ ἔμπορος εἰσελθὼν, τὰ πρὸς ὁδὸν εὐτρεπισθῆναι τοῖς δούλοις ἐπέσκηψε· μέλλειν γὰρ τὴν ἐπιοῦσαν εἰς Ἀσίαν πορεύεσθαι. Οἱ μὲν οὖν αὐτίκα τὰ σκεύη διεμερίζοντο· ὁ δ' Αἴσωπος ἐδεῖτο, τοῦ κουφοτάτου τῶν φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ νεωνήτῳ. Τῶν δὲ, εἰ καὶ μηδὲν ἄραι βούληται συγγνώμην παρεχομένων, ἐκεῖνος οὐ δεῖν ἔλεγε, πάντων κοπιώντων, αὐτὸν μόνον ἀσυντελῆ τυγχάνειν. Τῶν δὲ ὅπερ ἂν ἄραι βούληται ἐπιτρεπόντων, δεῦρο, κἀκεῖσε περιβλεψάμενος, καὶ σκεύη ἀθροίσας διάφορα, σάκκους, καὶ στρώματα, καὶ γυργάθους, ἕνα γύργαθον ἄρτων πεπληρωμένον, ὃν δύο βαστάζειν ἔμελλον, αὐτῷ ἐπιτεθεῖναι κελεύει. Οἱ δὲ γελάσαντες, καὶ μηδὲν εἶναι μωρότερον τοῦ χυδαίου τούτου καθάρματος φάμενοι, ὃς μικρῷ μὲν ἔμπροσθεν τὸ κουφότατον ἐδεῖτο ἄραι τῶν φορτίων, νῦν δὲ τὸ πάντων βαρύτατον εἵλετο· χρῆναι μέντοι τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶσαι, ὑπολαβόντες τὸν γύργαθον, ἐπιτιθέασι τῷ Αἰσώπῳ.

Ὁ δὲ κατὰ τῶν ὤμων τὸ φορτίον ἀπηχθισμένος, δεῦρο, κἀκεῖσε διεκλονεῖτο. Τὸν δὲ ἰδὼν ὁ ἔμπορος, ἀπεθαύμασε, καί φησιν· Αἴσωπος εἰς τὸ πονεῖν πρόθυμος ὢν, ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε· κτήνους γὰρ φόρτον ἤρατο. Ἐπεὶ δὲ ὥρας οὔσης ἀρίστου, κατέλυσαν, Αἴσωπος κελευσθεὶς ἀρτοδοτῆσαι, ἡ-

μι-

μηδὲν τὸν γύργαθον πολλῶν φαγόντων, ἐποίησεν· ὅθεν καὶ μετὰ τὸ ἄριστον κουφοτέρου τοῦ φορτίου γεγονότος, προθυμότερον ὥδευε. Καὶ δὴ καὶ ἑσπέρας, οὗ κατήχθησαν, πάλιν ἀρτοδοτήσας, τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντάπασι ἐπὶ τῶν ὤμων ἀνέχων τὸν γύργαθον, πρῶτος ἁπάντων ᾔει, ὡς καὶ τοῖς συνδούλοις προτρέχοντα τοῦτον ὁρῶσιν ἀμφίβολα γίνεσθαι, πότερον ὁ σαπρός ἐστιν Αἴσωπος, ἤ τις ἕτερος, καὶ καταμαθοῦσιν ἐκεῖνον εἶναι, θαυμάζειν, ὅπως τὸ μεμελανωμένον ἀνθρώπιον συνεχέστερα πάντων ἔπραξε, τοὺς ῥᾳδίως δαπανωμένους ἄρτους ἀράμενον, ἐκείνων τὰ στρώματα, καὶ τὰ λοιπὰ τῶν σκευῶν ἐπιφορτισαμένων, ἃ μὴ φύσιν ἔλαχεν οὑτωσὶ δαπανᾶσθαι. Ὁ μὲν οὖν ἔμπορος ἐπὶ τῇ Ἐφέσῳ γενόμενος, τὰ μὲν ἄλλα τῶν ἀνδραπόδων σὺν κέρδει ἀπέδοτο, ὑπελήφθη δ' αὐτῶν τρία, Γραμματικὸς, Ψάλτης, καὶ ὁ Αἴσωπος.

Τῶν δέ τις αὐτοῦ συνήθων συμβουλεύσας εἰς Σάμον ἀπᾶραι, ὡς ἐκεῖ δὴ σὺν μείζονι κέρδει ἀπεμπωλήσοντι τὰ σωμάτια, πείθει. Καὶ ὁ Ἔμπορος ἐπιβὰς τῆς Σάμου, τὸν μὲν Γραμματικὸν σὺν τῷ Ψάλτῃ καινὰς στολὰς ἀμφιέσας, ἵστησιν ἄμφω ἐπὶ τοῦ πρατηρίου, τὸν δ' Αἴσωπον, ἐπεὶ μηδαμόθεν εἶχε κοσμῆσαι, (ὅλος γὰρ ἦν ἁμάρτημα,) ἐσθῆτα σάκκου τούτῳ περικαθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς καὶ τοὺς ὁρῶντας ἐξίστασθαι λέγοντας· πόθεν τοῦτο τὸ βδέλυγμα, τὸ καὶ τοὺς ἄλλους ἀφανίζον; Αἴσωπος δὲ καίπερ ὑπὸ πολλῶν σκωπτόμενος, ἵστατο μέντοι τολμηρὰ πρὸς αὐτοὺς ἀτενίζων. Ξάνθος δὲ ὁ Φιλόσοφος εἷς τῶν ἐνοικούντων ὢν τηνικαῦτα τῇ Σάμῳ, προελθὼν ἐπὶ τὴν ἀγορὰν, καὶ θεασάμενος τοὺς μὲν δύο παῖδας σὺν εὐπρεπείᾳ περιϊσαμένους, μέσον δὲ τούτων τὸν Αἴσωπον, ἠγάσατο τὴν τοῦ ἐμπόρου ἐπί-

νοιαν,

SISMANOGLIO MEGARO



νοιαν, ὅπως τὸν αἰσχρὸν ἐν τῷ μεταξὺ τέταχεν, ὡς τῇ παραθέσει τοῦ δυσειδοῦς καλλίους ἑαυτῶν τοὺς νεανίας φανῆναι. Ἐγγυτέρω δ' ἐπιστὰς, ἐπύθετο τοῦ Ψάλτου, πόθεν ἂν εἴη; Καὶ ὃς, Καππαδόκης. Καὶ ὁ Ξάνθος· τί οὖν οἶδας ποιεῖν, Ὁ δὲ, πάντα· καὶ ἐπὶ τούτοις Αἴσωπος ἐξεγέλασε. Τῶν δὲ Σχολαστικῶν οἳ τῷ Ξάνθῳ συνῆσαν, ὡς εἶδον αὐτὸν γελάσαντα, καὶ παραφήναντα τοὺς ὀδόντας ἐξαίφνης, καί τι τέρας ὁρᾶν δοξάντων, καὶ τοῦ μὲν ἤπου κήλη ἐστὶν ὀδόντας ἔχουσα λέγοντος, τοῦ δὲ, τί ποτε ἄρα ἰδὼν ἐγέλασε; τοῦ δὲ, ὡς οὐκ ἐγέλασεν, ἀλλ' ἐρρίγωσε· πάντων δὲ βουλομένων γνῶναι, τί ποτε ἦν ὁ γέλως· εἷς αὐτῶν προσελθὼν τῷ Αἰσώπῳ, φησίν· ὅτου χάριν ἐγέλασας; Καὶ ὃς, ὑποχώρει θαλάττιον πρόβατον. Τοῦ δὲ ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ λόγῳ, κἀκ τοῦ εὐθέως ἀναχωρήσαντος, ὁ Ξάνθος τῷ ἐμπόρῳ φησί· πόσου τιμήματος ὁ Ψάλτης; Τοῦ δὲ χιλίων ὀβολῶν ἀποκειναμένου, πρὸς τὸν ἕτερον ἦλθεν, ὑπερβάλλον ἀκούσας τὸ τίμημα. Καὶ μέντοι καὶ τοῦτον ἐρομένου τοῦ Φιλοσόφου, πόθεν ἂν εἴη; καὶ ἀκούσαντος, ὅτι Λυδὸς, καὶ ἐπανερομένου, τί οὖν οἶδας ποιεῖν; κἀκείνου φαμένου, πάντα· πάλιν ἐγέλασεν Αἴσωπος. Τῶν Σχολαστικῶν δέ τινος ἀπορουμένου, τί δή ποτε οὗτος πρὸς πάντας γελᾷ; ἕτερος πρὸς αὐτὸν εἶπεν· εἰ βούλει καὶ σὺ θαλάττιος τράγος ἀκοῦσαι, ἐρώτησον. Ὁ δὲ Ξάνθος καὶ αὖθις ἤρετο τὸν ἔμπορον, πόσου τιμήματος ὁ Γραμματικός; Κἀκείνου τρισχιλίων ὀβολῶν ἀποκειναμένου· δυσφόρως ὁ Φιλόσοφος ἤνεγκε τὴν ὑπερβολὴν τοῦ τιμήματος, καὶ στραφεὶς ἀπῄει.

Τῶν δὲ Σχολαστικῶν ἐρομένων, εἰ μὴ ἤρεσεν αὐτῷ τὰ σωμάτια· Ναί φησιν, ἀλλὰ δόγμα κεῖται, μὴ ἀνδράποδον ὠνεῖσθαι τῶν πολυτίμων. Ἑνὸς δὲ

τῶ-

τούτων φαμένου· ἀλλ' εἰ ταῦθ' οὕτως ἔχει, τὸν γοῦν αἰσχρὸν τοῦτον οὐδεὶς νόμος ἐμποδὼν ἵσταται μὴ ὠνήσασθαι· τὴν αὐτὴν γὰρ καὶ οὗτος λειτουργίαν εἰσοίσει, καὶ ἡμεῖς τὸ τίμημα τούτου καταθησόμεθα. Ὁ Ξάνθος ἔφη· ἀλλὰ γελοῖον ἂν εἴη ὑμᾶς ἐκτίσαι τὸ τίμημα, ἐμὲ δὲ τὸν δοῦλον ὠνήσασθαι· ἄλλως τε καὶ τὸ γύναιόν μου καθάρειον ὄν, οὐκ ἂν ἀνάσχοιτο ὑπ' αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι. Τῶν δὲ Σχολαστικῶν αὖθις εἰπόντων, ἀλλ' ἐγγύς ἡ γνώμη, κατὰ τὸ μὴ πείθεσθαι γυναικί· ὁ Φιλόσοφος εἶπε· λάβωμεν πρότερον πεῖραν, εἰ οἶδέ τι, μή ποτε καὶ τὸ τίμημα μάτην ἀπόληται. Προσελθὼν γοῦν τῷ Αἰσώπῳ, χαῖρέ φησι. Καὶ ὅς, μὴ γὰρ ἐλυπούμην; Καὶ ὁ Ξάνθος, ἀσπάζομαί σε. Κἀκεῖνος, κἀγὼ σέ. Καὶ ὁ Ξάνθος ἅμα τοῖς ἄλλοις ἐπὶ τῷ παραλόγῳ, καὶ ἑτοίμῳ τῆς ἀποκρίσεως ἐκπλαγείς, ἤρετο, ποταπὸς εἶ; Ὁ δέ, μέλας, φησί. Καὶ ὁ Ξάνθος· οὐ τοῦτό φημι, ἀλλὰ πόθεν γεγένησαι; Καὶ ὅς, ἐκ τῆς γαστρὸς τῆς μητρός μου. Καὶ ὁ Ξάνθος· οὐ τοῦτο λέγω, ἀλλ' ἐν ποίῳ τόπῳ γεγένησαι; Κἀκεῖνος· οὐκ ἀνήγγειλέ μοι ἡ μήτηρ μου, πότερον ἐν ἀνωγέῳ, ἢ κατωγέῳ. Καὶ ὁ Φιλόσοφος· τί δὲ πράττειν ἐπίστασαι; Κἀκεῖνος, οὐδέν. Καὶ ὁ Ξάνθος· τίνα τρόπον; Ὁ δέ, ἐπειδή περ οὗτοι πάντα ἐπίστασθαι ἐπηγγείλαντο, ἐμοὶ δὲ κατέλιπον οὐδὲ ἕν. Καὶ ἐπὶ τούτοις οἱ Σχολαστικοὶ ὑπερφυῶς ἀγάμενοι· νὴ τὴν θείαν Πρόνοιαν, ἔφασαν, πάνυ καλῶς ἀπεκρίνατο· οὐδὲ γάρ ἐστιν ἀνθρώπων, ὃς ἂν πάντα εἰδείη· διὰ γὰρ ταῦτα δηλαδὴ καὶ ἐγέλα. Αὖθις οὖν ὁ Ξάνθος φησί· βούλει πρίωμαί σε; Καὶ ὁ Αἴσωπος, ἐμοῦ πρὸς τοῦτο συμβούλου δέῃ; ὁπότερόν σοι δοκεῖ βέλτιον, ἢ πρίασθαι, ἢ μή, ποίει· οὐδεὶς γὰρ οὐδὲν πρὸς βίαν ποιεῖ· τοῦτο παρὰ τῇ σῇ κεῖται γνώ-

μη·



μη· κἂν μὲν βούλῃ, βαλαντίου θύραν ἀνοίξας ἀργύριον ἀρίθμει, εἰ δέ, μὴ σκῶπτε. Πάλιν οὖν οἱ Σχολαστικοὶ πρὸς ἀλλήλους ἔφασαν· νὴ τοὺς Θεούς, νενίκηκε τὸν Καθηγητήν. Τοῦ δὲ Ξάνθου φήσαντος, ἐὰν πρίωμαί σε, δραπετεῦσαι βουλήσῃ; Γελάσας ὁ Αἴσωπος ἔφη· τοῦτο εἰ βουλήσομαι πρᾶξαι, οὐ πάντως χρήσομαί σοι συμβούλῳ, ὡς δὴ καὶ σὺ μικρῷ πρόσθεν ἐμοί. Καὶ ὁ Ξάνθος, καλῶς μὲν λέγεις, ἀλλ' αἰσχρὸς εἶ. Κἀκεῖνος, εἰς τὸν νοῦν ἀφορᾶν δεῖ, Φιλόσοφε, καὶ μὴ εἰς τὴν ὄψιν. Τότε τῷ ἐμπόρῳ προσελθὼν ὁ Ξάνθος φησί· πόσου τοῦτον πωλεῖς; Καὶ ὅς, κερτομῆσαί μου πάρει τὴν ἐμπορείαν, ὅτι τοὺς ἀξίους σου παῖδας ἀφείς, τὸν αἰσχρὸν τοῦτον εἵλου· θάτερον τῶν λοιπῶν ὤνησον, τοῦτον δὲ πρόσδεμα λάβε. Καὶ ὁ Ξάνθος, οὐ δῆτα, ἀλλὰ τοῦτον. Καὶ ὁ ἔμπορος, ἑξήκοντα ὀβολῶν ὤνησαι. Καὶ οἱ μὲν Σχολαστικοὶ παραχρῆμα συνεισενεγκότες, κατέθεντο· ὁ δὲ Ξάνθος ἐκτήσατο. Οἱ τοίνυν Τελῶναι τὴν πρᾶσιν μεμαθηκότες, παρῆσαν ἀνακρίνοντες, τίς μὲν ὁ ἀπεμπωλήσας, τίς δ' ὁ πριάμενος. Αἰσχυνομένων δ' ἀμφοτέρων ἑαυτοὺς ἀνειπεῖν διὰ τὸ πενιχρὸν τοῦ τιμήματος, ὁ Αἴσωπος στὰς εἰς τὸ μέσον, ἀνέκραξεν· ὁ μὲν πραθείς, ἐγώ. ὁ πριάμενος δ' οὑτοσί· καὶ ὁ πωλήσας ἐκεινοσί· εἰ δ' αὐτοὶ σιωπῶσιν, ἐγὼ ἄρα ἐλεύθερός εἰμι. Οἱ δὲ Τελῶναι διαχυθέντες, ἐχαρίσαντό τε τῷ Ξάνθῳ τὸ τέλος, καὶ ἀπηλλάγησαν.

Ὁ μὲν οὖν Αἴσωπος ἠκολούθει πρὸς τὴν οἰκίαν ἀπιόντι τῷ Ξάνθῳ. Μεσημβρινοῦ δὲ καύματος ὄντος, ὁ Ξάνθος ἐν τῷ περιπατεῖν τὸν χιτῶνα ἀνασυράμενος, οὔρει. Ὅπερ ἰδὼν Αἴσωπος, καὶ τῶν ἱματίων ἐκείνου δραξάμενος ὄπισθεν, πρὸς ἑαυτὸν εἵλκυσε, καί φησι· τὴν ταχίστην με πώλησον, ἐπεὶ δρα-

πε-

πετάσω. Καὶ ὁ Ξάνθος, ἀνθ' ὅτου; Ὅτι φησὶν, οὐκ ἂν δυναίμην τοιούτῳ ὑπηρετεῖσθαι Δεσπότῃ. Εἰ γὰρ σὺ, Δεσπότης ὢν, καὶ μηδένα φοβούμενος, ὅμως ἄνεσιν οὐ παρέχες τῇ φύσει, ἀλλὰ βαδίζων οὐρεῖς, εἰ τύχῃ τὸν δοῦλον ἐμὲ πρός τινα σταλῆναι διακονίαν, κἂν τῷ μεταξὺ τῆς πορείας τοιόν δέ τι ἀπαιτῆσαι τὴν φύσιν, ἀνάγκη πᾶσα πετόμενόν με ἀποπατεῖν. Καὶ ὁ Ξάνθος· τοῦτό σε θορυβεῖ; τρία κακὰ βουλόμενος διαδρᾶσαι βαδίζων οὐρῶ. Καὶ ὅς, ποῖα; Κἀκεῖνος, ἔστι μοι τὴν μὲν κεφαλὴν κατέκαυσεν ἂν ὁ ἥλιος, τοὺς πόδας τὸ τῆς γῆς ἔδαφος, ὂν ἐκπεπυρωμένον, ἡ δὲ τοῦ οὔρου δριμύτης τὴν ὄσφρησιν ἂν ἐλυμήνατο. Καὶ ὁ Αἴσωπος· βάδιζε, πέπεικάς με. Ἐπεὶ δὲ καὶ τῇ οἰκίᾳ ἐπέστησαν, ὁ Ξάνθος παραγγείλας τῷ Αἰσώπῳ μένειν πρὸ τοῦ πυλῶνος, ἐπειδὴ καθάριον ὂν αὐτῷ τὸ γύναιον ᾔδει, καὶ οὐκ ἐχρῆν ἐξαπίνης τοιοῦτον αἶσχος αὐτῇ φανῆναι, πρίν τινα καὶ πρὸς αὐτὸ ἀστεΐσηται· αὐτὸς δ' εἰσελθὼν, λέγει· Κυρία, οὐκέτι με τοὐντεῦθεν ὀνειδιεῖς τῆς θεραπείας, ἧς πρὸς τῶν θεραπαινίδων τῶν σῶν ἀπαμείω· ἤδη γὰρ κἀγὼ παῖδά σοι ἐπριάμην, ἐν ᾧ καὶ ὄψει κάλλος, οἷον οὔπω τεθέασαι, ὃς καὶ ἤδη πρὸ τοῦ πυλῶνος ἕστηκε. Κἀκεῖνος μὲν ταῦτα· αἱ δέ γε θεραπαινίδες ἀληθῆ νομίσασαι τὰ λεχθέντα, πρὸς ἀλλήλας οὐκ ἀγεννῶς ἠμφισβήτουν περὶ τοῦ, τίνι τούτων νυμφίος ὁ νεώνητος ἔσται. Τῆς δὲ τοῦ Ξάνθου γυναικὸς εἴσω κληθῆναι τὸν νεώνητον κελευσάσης, μία τῶν ἄλλων μᾶλλον ὀργῶσα, καὶ ὡς ἀρραβῶνα τὴν κλῆσιν ἁρπάσασα, τὸν νεώνητον ἐκδραμοῦσα ἐκάλει.

Κἀκείνου φαμένου, ἰδοὺ ἐγὼ πάρειμι· ἐκπλαγεῖσα, σὺ φησὶν εἶ; Καὶ ὅς, ναί. Κἀκείνη· ἀβάσκαντε, μὴ εἰσέλθῃς εἴσω, καὶ πάντες φύγωσι. Καὶ μέν-



SISMANOGLIO



τοι καὶ ἄλλης ἐξελθούσης, καὶ ὡς εἶδεν αὐτὸν, παταχθείη σου φαμένης τὸ πρόσωπον, καὶ δεῦρο εἴσελθε, ἀλλὰ μὴ προσεγγίσῃς μοι· εἰσελθὼν ἔστη ἄντικρυ τῆς Δεσποίνης. Ἡ δὲ τοῦτον θεασαμένη, τὰς ὄψεις ἀπέστρεφε πρὸς τὸν ἄνδρα, φαμένη· πόθεν μοι τοῦτο τὸ τέρας ἤνεγκας; ἔκβαλε αὐτὸν τοῦ προσώπου μου. Κἀκεῖνος, ἅλις σοι Κυρία, μὴ ὑπόσκωπτέ μου τὸν νεώνητον. Ἡ δὲ, δῆλος εἶ Ξάνθε μισήσας με, ἑτέραν ἀγαγέσθαι βουλόμενος· καὶ ἴσως αἰδούμενος φράσαι μοι, ὡς τῆς οἰκίας ἀναχωρήσω, τὸν κυνοκέφαλόν μοι τοῦτον κεκόμικας, ὡς ἂν τὴν αὐτοῦ δυσαναχετοῦσα λατρείαν, φύγω· δὸς οὖν μοι τὴν προῖκά μου, καὶ πορεύσομαι. Πρὸς ταῦτα τοῦ Ξάνθου μεμψαμένου τὸν Αἴσωπον, ὡς κατὰ μὲν τὴν ὁδὸν ἀστεῖά τινα φθεγξαμένου περὶ τῆς ἐν τῷ βαδίζειν οὐρήσεως, νυνὶ δὲ πρὸς τὴν γυναῖκα μηδὲν λέγοντος, Αἴσωπος ἔφη· βάλε αὐτὴν εἰς τὸν βάραθρον. Καὶ ὁ Ξάνθος· παῦε κάθαρμα, ἢ οὐκ οἶσθ' ὅτι ταύτην ὡς ἐμαυτὸν στέργω; Καὶ ὁ Αἴσωπος, ἐρᾷς τοῦ γυναίου; Κἀκεῖνος, πάνυ μὲν οὖν δραπέτα. Καὶ πρὸς τοῦτο Αἴσωπος κροτήσας εἰς τὸ μέσον τὸν πόδα, μεγάλως ἀνέκραξε. Ξάνθος ὁ Φιλόσοφος γυναικοκρατεῖται. Καὶ στραφεὶς πρὸς τὴν αὐτοῦ Δέσποιναν, ἔφη· σὺ ὦ Δέσποινα, ἐβούλου τὸν Φιλόσοφον ὠνήσασθαί σοι δοῦλον νέον, εὐσωματοῦντα, σφριγῶντα, ὃν ἔδει γυμνήν σε κἂν τῷ βαλανείῳ θεᾶσθαι, καί σοι προσπαίζειν τὰ εἰς αἰσχύνην τοῦ Φιλοσόφου. Εὐριπίδη, χρυσοῦν ἐγώ σου φημὶ τὸ στόμα, τοιαῦτα λέγον. Πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλαττίων, πολλαὶ δὲ ποταμῶν, καὶ πυρὸς θερμοῦ πνοαί· δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία· πλὴν οὐδὲν οὕτω δεινὸν, ὡς γυνὴ κακή. Σὺ δ' ὦ Δέσποινα, Φιλοσόφου γυνὴ οὖσα, ὑπὸ καλῶν

νεανίσκων ὑπηρετεῖσθαι μὴ θέλε. μήπως ὕβριν τῷ ἀνδρί σου προστρέψῃς. Ἡ δὲ ταῦτα ἀκούσασα, καὶ πρὸς μηδὲν ἀντειπεῖν δυνηθεῖσα, πόθεν ἀνερ, φησὶ, τὸ κάλλος τοῦτο τεθήρακας; ἀλλὰ καὶ λάλος ὁ σαπρὸς οὗτος φαίνεται, καὶ εὐτράπελος· διαλλαγήσομαι τοίνυν αὐτῷ. Καὶ ὁ Ξάνθος· Αἴσωπε, διήλλακταί σοι ἡ σὴ Δέσποινα. Καὶ ὁ Αἴσωπος εἰρωνευσάμενος, μέγα τι χρῆμα, φησὶ, τὸ πραΰναι γυναῖκα. Καὶ ὁ Ξάνθος· σιώπα τοὐντεῦθεν, ὠνησάμην γάρ σε εἰς δουλείαν, οὐκ εἰς ἀντιλογίαν.

Τῇ δ' ὑστεραίᾳ, Ξάνθος ἕπεσθαι τῷ Αἰσώπῳ κελεύσας, πρός τινα τῶν κήπων ἧκεν ὠνησάμενος λάχανα. Τοῦ δὲ κηπουροῦ δέσμην λαχάνων θερίσαντος, ἀνείληφεν Αἴσωπος. Τοῦ δὲ Ξάνθου μέλλοντος ἤδη τῷ κηπουρῷ καταβάλλειν τὸ κέρμα, ὁ κηπουρὸς, ἔα Κύριε φησιν, ἑνὸς προβλήματος παρὰ σοῦ δέομαι. Καὶ ὁ Ξάνθος, τίνος; Καὶ ὅς· τί δή ποτε τὰ μὲν παρ' ἐμοῦ φυτευόμενα τῶν λαχάνων, καίπερ ἐπιμελῶς σκαλιζόμενά τε, καὶ ἀρδευόμενα, βραδεῖαν ὅμως ποιεῖται τὴν αὔξησιν· οἷς δ' αὐτομάτη ἐκ γῆς ἡ ἀνάδοσις, καίτοι μηδεμιᾶς ἐπιμελείας ἀξιουμένοις, τούτοις ὀξυτέρα ἡ βλάστησις; Ὁ μὲν οὖν Ξάνθος, καίτοι φιλοσόφου τῆς ζητήσεως οὔσης, μηδὲν ἕτερον συννοήσας εἰπεῖν, τῇ Θείᾳ Προνοίᾳ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις διοικεῖσθαί φησιν. Ὁ δ' Αἴσωπος (παρῆν γὰρ) ἐγέλασε· καὶ πρὸς αὐτὸν ὁ Φιλόσοφος· πότερον γελᾷς, ἢ καταγελᾷς; Καὶ ὁ Αἴσωπος, καταγελῶ φησιν, ἀλλ' οὐ σοῦ, τοῦ δὲ διδάξαντός σε· ἃ γὰρ ὑπὸ θείας Προνοίας γίνεται, ταῦθ' ὑπὸ σοφῶν ἀνδρῶν τυγχάνει τῆς λύσεως· πρόβαλε τοίνυν ἐμέ, κἀγὼ λύσω τὸ πρόβλημα. Ἐν τούτῳ τοίνυν ὁ Ξάνθος ἐπιστραφείς, λέγει τῷ κηπουρῷ· ἥκιστα πάντων ἐμπρε-





πές ἐστιν, ὦ τᾶν, ἐμὲ τὸν ἐν τοσούτοις ἀκροατηρίοις διαλεχθέντα, τανῦν ἐν κήπῳ λύειν σοφίσματα· παῖς δέ μου οὑτοσὶ πολλῶν πεῖραν ἔχων ἀκολουθίας, τούτῳ προσαναθέμενος, τῆς λύσεως τεύξῃ τοῦ ζητουμένου· Καὶ ὁ κηπουρός, οὗτος ὁ αἰσχρὸς γράμματα οἶδεν; οἴμοι τῆς δυστυχίας! ἀλλὰ φράσον, ὦ λῷστε, εἰ τοῦ ζητουμένου τὴν διασάφησιν ἔγνωκας. Καὶ ὁ Αἴσωπος· ἡ γυνή, φησὶν, ἐπειδὰν πρὸς δεύτερον γάμον ἔλθῃ, τέκνα ἐκ τοῦ προτέρου ἀνδρὸς ἔχουσα, εἴπερ εὕροι καὶ τὸν ἄνδρα τέκνα ἐκ τῆς προτέρας γυναικὸς τεκνοποιησάμενον, ὧν μὲν αὐτὴ τέκνα ἐπηγάγετο, τούτων μήτηρ ἐστίν· ἃ δ' εὗρεν ἐν τῷ ἀνδρί, τούτων ἐστὶ μητρυιά. Πολλὴν οὖν ἐν ἑκατέροις ἐνδείκνυται τὴν διαφοράν· τὰ μὲν γὰρ ἐξ αὐτῆς, φιλοστόργως, καὶ ἐπιμελῶς τρέφουσα διαγίνεται, τὰ δ' ἐξ ἀλλοτρίων ὠδίνων μισεῖ, καὶ ζηλοτυπίᾳ χρωμένη, τὴν ἐκείνων τροφὴν παρακόπτουσα, τοῖς ἑαυτῆς προστίθεται τέκνοις· τὰ μὲν γὰρ φύσει ὡς οἰκεῖα φιλεῖ, ἀποστέργει δὲ τὰ τοῦ ἀνδρὸς ὡς ἀλλότρια. Τὸν ἴσον δὴ καὶ ἡ γῆ τρόπον τῶν μὲν αὐτομάτως ἐξ αὐτῆς φυομένων μήτηρ ἐστίν, ἃ δ' αὐτὸς ἐμφυτεύεις, τούτων γίνεται μητρυιά· οὗ χάριν καὶ μᾶλλον ὡς γνήσια τὰ οἰκεῖα τρέφει, καὶ θάλπει· τοῖς δὲ παρὰ σοῦ φυτευομένοις οὐ τοσαύτην, ὡς νόθοις, τὴν τροφὴν νέμει. Ἐπὶ τούτοις ἡσθεὶς ὁ κηπουρὸς, πιστεύσας ἄν μοι φησίν, ὅτι με ἀμηχάνου λύπης, καὶ ἀδολεσχίας ἐκούφισας. Ἄπιθι προῖκα φέρων τὰ λάχανα, καὶ ὁσάκις σοι τούτων δεῖ, ὡς εἰς οἰκεῖον κῆπον βαδίζων, λάμβανε.

Μεθ' ἡμέρας δὲ πάλιν εἰς τὸ βαλανεῖον ἐλθόντος τοῦ Ξάνθου, καί τισιν ἐντυχόντος ἐκεῖ τῶν φίλων, καὶ πρὸς τὸν Αἴσωπον εἰρηκότος, εἴς τε τὴν οἰκίαν προσδραμεῖν, καὶ φακὴν εἰς τὴν χύτραν ἐμβαλόντα ἑψῆ-

σαι, ἐκεῖνος ἀπελθὼν, κόκκον ἕνα φακῆς εἰς τὴν χύτραν ἕψει βαλών. Ὁ δὲ δὴ Ξάνθος ἅμα τοῖς φίλοις λουσάμενος, ἐκάλει τούτους συναριστήσοντας· προεῖπε μέντοι καὶ ὡς λιτῶς, ἐπὶ φακῇ γὰρ ἔσται τὸ δεῖπνον, καὶ ὡς μὴ δεῖν τῇ ποικιλίᾳ τῶν ἐδεσμάτων τοὺς φίλους κρίνειν, ἀλλὰ δοκιμάζειν τὴν προθυμίαν. Τῶν δὲ εἰξάντων, καὶ πρὸς τὴν οἰκίαν ἀφικομένων, ὁ Ξάνθος φησὶ, δὸς ἡμῖν ἀπὸ λουτροῦ πιεῖν, Αἴσωπε. Τοῦ δ' ἐκ τῆς ἀπορροίας τοῦ λουτροῦ λαβόντος, καὶ ἐπιδεδωκότος, ὁ Ξάνθος τῆς δυσωδίας ἀναπλησθεὶς, φεῦ, τί τοῦτό φησιν, Αἴσωπε; Καὶ ὅς· ἀπὸ λουτροῦ, ὡς ἐκέλευσας. Τοῦ δὲ Ξάνθου τῇ παρουσίᾳ τῶν φίλων τὴν ὀργὴν ἐπισχόντος, καὶ λεκάνην αὐτῷ παρατεθεῖναι κελεύσαντος, Αἴσωπος τὴν λεκάνην θεὶς ἵστατο. Καὶ ὁ Ξάνθος, οὐ νίπτεις; Κἀκεῖνος, ἐντέταλταί μοι ταῦτα ποιεῖν, ὅσα ἂν ἐπιτάξῃς· σὺ δὲ νῦν οὐκ εἶπας, βάλε ὕδωρ εἰς τὴν λεκάνην, καὶ νίψον τοὺς πόδας μου, καὶ θὲς τὰς ἐμβάδας, καὶ ὅσα ἐφεξῆς. Πρὸς δὴ ταῦτα τοῖς φίλοις ὁ Ξάνθος ἔφη· μὴ γὰρ δοῦλον ἐπριάμην; οὐκ ἔστιν ὅπως, ἀλλὰ διδάσκαλον. Ἀνακλιθέντων τοίνυν αὐτῶν, καὶ τοῦ Ξάνθου τὸν Αἴσωπον ἐρωτήσαντος, εἰ ἕψηται ἡ φακὴ, δοίδυκι λαβὼν ἐκεῖνος τὸν τῆς φακῆς κόκκον ἀνέδωκεν. Ὁ δὲ Ξάνθος λαβὼν, καὶ οἰηθεὶς ἕνεκεν τοῦ πεῖραν λαβεῖν τῆς ἑψήσεως τὴν φακὴν δέξασθαι, τοῖς δακτύλοις διατρίψας ἔφη· καλῶς ἕψηται, κόμισον. Τοῦ δὲ μόνον τὸ ὕδωρ κενώσαντος ἐν τοῖς τρυβλίοις, καὶ παραθέντος, Ξάνθος, ποῦ ἐστιν ἡ φακὴ, φησί; Καὶ ὅς· ἔλαβες αὐτήν. Καὶ ὁ Ξάνθος· ἕνα κόκκον ἕψησας; Καὶ ὁ Αἴσωπος, μάλιστα· φακὴν γὰρ ἑνικῶς εἶπας, ἀλλ' οὐ φακὰς, ὃς δὴ πληθυντικῶς λέγεται. Ὁ μὲν οὖν Ξάνθος ἀπορήσας τοῖς ὅλοις, ἄν-



δρες ἑταῖροι, ἔφη, οὗτος εἰς μανίαν με περιτρέψει. Εἶτα στραφεὶς πρὸς τὸν Αἴσωπον, εἶπεν· ἀλλ' ἵνα μὴ δόξω, κακὲ δοῦλε, τοῖς φίλοις ἐνυβρίζειν, ἀπελθὼν ὤνησαι πόδας χοιρείους τέτταρας, καὶ διὰ ταχέων ἑψήσας παράθες. Τοῦ δὲ σπουδῇ τοῦτο ποιήσαντος, καὶ τῶν ποδῶν ἑψομένων, ὁ Ξάνθος εὐλόγως θέλων τύψαι τὸν Αἴσωπον, αὐτοῦ περί τι τῶν εἰς χρείαν ἀσχολουμένου, ἕνα τῶν ποδῶν ἐκ τῆς χύτρας λαθραίως ἀνελόμενος, ἔκρυψε. Μετὰ μικρὸν δὲ καὶ ὁ Αἴσωπος ἐλθὼν, καὶ τὴν χύτραν ἐπισκεψάμενος, ὡς τοὺς τρεῖς μόνους πόδας ἑώρακε, συνῆκε ἐπιβουλήν αὐτῷ τινα γεγονυῖαν· καὶ δὴ καταδραμὼν ἐπὶ τὴν αὐλὴν, καὶ τοῦ σιτευομένου χοίρου τὸν ἕνα τῶν ποδῶν τῇ μαχαίρᾳ περιελὼν, καὶ τριχῶν ψιλώσας, εἰς τὴν χύτραν ἔρριψε, καὶ συνέψει τοῖς ἄλλοις. Ξάνθος δὲ δείσας, μήπως Αἴσωπος τὸν ὑφαιρεθέντα τῶν ποδῶν οὐχ εὑρὼν ἀποδράσῃ, αὖθις εἰς τὴν χύτραν αὐτὸν ἐνέβαλε. Τοῦ δὲ Αἰσώπου τοὺς πόδας εἰς τὸ τρυβλίον κενώσαντος, καὶ πέντε τούτων ἀναφανέντων, ὁ Ξάνθος, τί τοῦτό φησιν, Αἴσωπε; πῶς πέντε; Κἀκεῖνος, τὼ δύω χοίρω πόσους ἔχετον πόδας; Καὶ ὁ Ξάνθος, ὀκτώ. Καὶ ὁ Αἴσωπος, εἰσὶν οὖν ἐνταυθοῖ πέντε, καὶ ὁ σιτευόμενος χοῖρος νέμεται κάτω τρίπους. Καὶ ὁ Ξάνθος πάνυ βαρέως ἔχων, πρὸς τοὺς φίλους φησίν· οὐχὶ μικρῷ πρόσθεν εἶπον, ὡς τάχιστά με πρὸς μανίαν οὗτος δὴ περιτρέψει; Καὶ ὁ Αἴσωπος· Δέσποτα οὐκ οἶσθ' ὅτι τὸ ἐκ προσθέσεώς τε, καὶ ἀφαιρέσεως εἰς τὸ κατὰ λόγον ποσὸν συγκεφαλαιούμενον, οὐκ ἔστιν ἁμάρτημα; Ὁ μὲν οὖν Ξάνθος, μηδεμίαν αἰτίαν εὐπρόσωπον εὑρηκὼς μαστιγῶσαι τὸν Αἴσωπον, ἡσύχασε.

Τῇ δ' ὑστεραίᾳ τῶν Σχολαστικῶν τις πολυτελὲς εὐτρεπίσας δεῖπνον, σὺν ἄλλοις Σχολαστικοῖς καὶ τὸν Ξάν-



SISMANOGLIO

Ξάνθον κέκληκεν. Εὐωχουμένων τοίνυν ὁ Ξάνθος μερίδας ἐκ τῶν παρακειμένων ἀνελόμενος ἐπιλέκτους, καὶ τῷ Αἰσώπῳ ὄπισθεν ἐφεστῶτι δούς, τῇ εὐνοούσῃ μοι, φησὶ πρὸς αὐτόν, ταῦτα ἐπίδος ἀπελθών. Ὁ δ' ἀπιών, καθ' ἑαυτὸν ἐνενόει· νῦν καιρὸς τίσασθαί μου τὴν Δέσποιναν, ἀνθ' ὧν με, ἡνίκα νεώνητος ἦλθον, ἔσκωπτεν· ὄψεται τοίνυν εἰ τῷ Δεσπότῃ μου εὐνοεῖ. Ἀφικόμενος οὖν εἰς τὴν οἰκίαν, καὶ καθίσας ἐν τῷ προδόμῳ, καὶ τὴν Δέσποιναν ἐκκαλέσας τὴν σπυρίδα τῶν μερίδων ἔμπροσθεν αὐτῆς τέθεικε, καί φησι. Δέσποινα, ταῦτα πάντα ὁ Δεσπότης πέπομφεν οὐ σοί, ἀλλὰ τῇ εὐνοούσῃ· Καὶ τὴν κύνα καλέσας, καὶ εἰπών, ἐλθὲ Λύκαινα, φάγε, σοὶ γὰρ ὁ Δεσπότης ταῦτα ἐπέταξε δοθῆναι, ἀνὰ μέρος τῇ κυνὶ πάντα παρέβαλε. Μετὰ δὲ τοῦτο πρὸς τὸν Δεσπότην πάλιν ἐλθών, καὶ ἐρωτηθεὶς εἰ τῇ εὐνοούσῃ δέδωκε πάντα· πάντα, φησί, καὶ ἐνώπιον ἐμοῦ πάντα κατέφαγε. Τοῦ δ' ἐπανερομένου, καὶ τί ποτε ἄρα ἐσθίουσα ἔλεγεν, ἐκεῖνος, ἐμοὶ μὲν φησὶν οὐδοτιοῦν εἴρηκε, καθ' ἑαυτὴν δέ σοι χάριτας ᾔδει. Ἡ μέντοι γυνὴ τοῦ Ξάνθου συμφορὰν τὸ πρᾶγμα οἰησαμένη, ἅτε δὴ δευτέρα τῆς κυνὸς ἐλεγχθεῖσα τῇ πρὸ τὸν ἄνδρα εὐνοίᾳ, καὶ ἐπειποῦσα, ἡ μὴν μηκέτι τοῦ λοιποῦ συνοικήσειν αὐτῷ, εἴσω παρελθοῦσα τοῦ κοιτῶνος ἐθρήνει. Τοῦ δὲ πότου προκόπτοντος, καὶ ζητημάτων πρὸς ἀλλήλους προτεινομένων, καὶ ἑνὸς αὐτῶν ἀπορήσαντος, πηνίκα γένοιτο μεγάλη ἐν ἀνθρώποις ταραχή, Αἴσωπος ὄπισθεν ἑστὼς εἶπεν· ἡνίκα ἂν οἱ νεκροὶ ἀνιστάμενοι, τὰ ἑαυτῶν ἀπαιτήσωσι κτήματα. Καὶ οἱ Σχολαστικοὶ γελάσαντες, ἔφασαν. νοήμων ἐστὶν ὁ νεώνητος. Ἑτέρου δὲ πάλιν προτεθέντος, ὅτου χάριν τὸ μὲν πρόβατον ἐπὶ σφαγὴν ἑλκόμενον οὐ βοᾷ, ὁ δὲ χοῖρος ὅτι μάλιστα κράζει; Αἴσω-

πος



πος αὖθις ἔφη· ὅτι τὸ μὲν πρόβατον κατὰ τὸ εἰωθὸς ἀμελγόμενον, ἢ τὸ τοῦ πόκου βάρος ἀποτιθέμενον, σιγῇ ἕπεται· διὸ καὶ ὑποσκελιζόμενον, καὶ τὸν σίδηρον ὁρῶν, οὐδὲν δεινὸν ὑποπτεύει, ἀλλ' ἐκεῖνα τὰ συνήθη, καὶ μόνα δοκεῖ πείσεσθαι· ὁ δὲ χοῖρος, ἅτε δὴ μήτ' ἀμελγόμενος, μήτε κειρόμενος, μηδὲ συνειδὼς ἑαυτῷ πρός τι τῶν τοιούτων ἑλκόμενος, ἀλλ' ὅτι τῶν σαρκῶν αὐτοῦ μόνον ἐστὶ χρεία, εἰκότως βοᾷ. Τούτων οὕτω ῥηθέντων, οἱ Σχολαστικοὶ πάλιν ἐπῄνεσαν αὐτόν, τραπέντες εἰς γέλωτα.

Παυσαμένου μέντοι τοῦ πότου, καὶ τοῦ Ξάνθου πρὸς τὴν οἰκίαν ἀπονοστήσαντος, καὶ τῇ γυναικὶ συνήθως ὁρμήσαντος προσλαλεῖν, ἐκείνη τοῦτον ἀποστραφεῖσα φησί· μή μου πλησίον γένῃ· δός μοι τὴν προῖκά μου, καὶ ἀπελεύσομαι· οὐδὲ γὰρ ἂν μείναιμι σὺν σοὶ τοὐντεῦθεν· σὺ δ' ἀπελθὼν τὴν κύνα κολάκευε, ᾗ πέπομφας τὰς μερίδας. Καὶ ὁ Ξάνθος ἐκπλαγεὶς λέγει· οὐκ ἔστιν ὅπως οὐκ ἤρτυσέ μοί τι κακὸν πάλιν Αἴσωπος· καὶ πρὸς τὴν γυναῖκά φησι· Κυρία, ἐμοῦ πεπωκότος, σὺ μεθύεις; τίνι τὰς μερίδας πέπομφα; οὐχὶ σοί; Μὰ Δία, ἐμοὶ μὲν οὔ, φησὶν ἐκείνη, τῇ δὲ κυνί. Καὶ ὁ Ξάνθος τῷ Αἰσώπῳ κληθέντι φησί· τίνι δέδωκας τὰς μερίδας; Κἀκεῖνος, τῇ εὐνοούσῃ σοι. Καὶ πρὸς τὴν γυναῖκα ὁ Ξάνθος, οὐδὲν ἔλαβες; Κἀκείνη, οὐδέν. Καὶ ὁ Αἴσωπος· τίνι γὰρ ἐκέλευσας, Δέσποτα, τὰς μερίδας δοθῆναι; Κἀκεῖνος, τῇ εὐνοούσῃ μοι. Καὶ ὁ Αἴσωπος τὴν κύνα φωνήσας, αὕτη σοι, φησίν, εὐνοεῖ· ἡ γὰρ γυνή, κἂν εὐνοεῖν λέγηται, ἀλλ' ἐπ' ἐλαχίστῳ ἀλγήσασα, ἀντιλέγει, λοιδορεῖται, ἀναχωρεῖ· τὴν μέντοι κύνα τύψον, ἀπέλασον, καὶ οὐκ ἀναχωρήσειεν ἄν, ἀλλ' ἐπιλαθομένη πάντων, αὐτίκα φιλοφρόνως σαίνει

SISMANOGLIO MEGARO

καὶ σὺν χάριτι τὸν Δεσπότην. Ἔδει σε οὖν εἰπεῖν, Δέσποτα, τῇ γυναικὶ τὰς μερίδας κόμισον, καὶ μὴ τῇ εὐνοούσῃ. Καὶ ὁ Ξάνθος, ὁρᾷς κυρία, ὡς οὐκ ἐμὸν τὸ ἁμάρτημα, ἀλλὰ τοῦ κομίσαντος; Ἀνάχου τοιγαροῦν, καὶ οὐκ ἀπορήσω προφάσεως, δι᾽ ἣν αὐτὸν μαστιγώσω. Τῆς δὲ μὴ πειθομένης, ἀλλὰ λάθρα πρὸς τοὺς ἑαυτῆς γονεῖς ἀποχωρησάσης, Αἴσωπος εἶπεν· οὐκ ὀρθῶς εἶπον ὦ Δέσποτα, ὡς ἡ κύων σοι μᾶλλον εὐνοεῖ, καὶ οὐχ ἡ ἐμὴ δέσποινα;

Ἡμερῶν δέ τινων παρῳχηκυιῶν, καὶ τῆς γυναικὸς ἀδιαλλάκτου μενούσης, καὶ τοῦ Ξάνθου τῶν προσηκόντων τινὰς ὡς αὐτὴν, ὡς ἂν ὑποστρέψειεν οἴκαδε, πέμψαντος, τῆς δὲ μὴ ὑπείκειν θελούσης, καὶ τοῦ Ξάνθου δι᾽ αὐτὴν εἰς ἀθυμίαν πεσόντος, Αἴσωπος προσελθὼν αὐτῷ, φησί· μὴ ἀνιῶ Δέσποτα, ἐγὼ γὰρ αὐτὴν αὔριον ἥκειν αὐθαίρετον, καὶ ἀπαράλλακτον δράσω πρὸς σέ. Καὶ λαβὼν κέρμα πρὸς τὴν ἀγορὰν ἦλθε, καὶ ὠνησάμενος χῆνας, καὶ ὄρνιθας, καὶ ἄλλ᾽ ἄττα τῶν πρὸς εὐωχίαν ἐπιτηδείων, βαδίζων τὰς οἰκίας περιενόστει. Παρήει τοίνυν καὶ τὴν τῶν τῆς αὐτοῦ δεσποίνης γεννητόρων οἰκίαν, μήτε ταύτην εἰδέναι προσποιούμενος ἐκείνων τυγχάνουσαν, μήτε μὴν ἐν αὐτῇ τὴν δέσποιναν μένουσαν. Καὶ δή τινι τῶν τῆς οἰκίας ἐκείνης ἐντυχὼν ἠρώτα, εἴ τι που τῶν εἰς γάμους χρησίμων οἱ κατὰ τὴν οἰκίαν ἔχοιεν αὐτῷ πωλῆσαι. Τοῦ δὲ, καὶ τίς τούτων ἔχει τὴν χρείαν πυθομένου; Ξάνθος, φησὶν ὁ φιλόσοφος· αὔριον γὰρ γυναικὶ μέλλει συνάπτεσθαι. Τοῦ δὲ ἀναβάντος, καὶ τῇ γυναικὶ ταῦτα τοῦ Ξάνθου ὡς ἤκουσεν ἀναγγείλαντος, ἐκείνη σὺν δρόμῳ καὶ σπουδῇ πρὸς τὸν Ξάνθον ἦλθεν αὐτίκα, καὶ αὐτοῦ κατεβόα, λέγουσα πρὸς τοῖς ἄλλοις καὶ ταῦτα· ὡς οὐκ ἂν ἐμοῦ ζώσης, ὦ Ξάν-

θε,

SISMANOGLIO MEGARO



θε, ἑτέρᾳ γυναικὶ δυνηθήσῃ συναρμοσθῆναι. Καὶ οὕτως ἔμεινεν ἐπὶ τῆς οἰκίας δι᾽ Αἰσώπου· ὡς καὶ δι᾽ ἐκεῖνον ἀπῆρε.

Μετὰ δ᾽ ἡμέρας πάλιν τινὰς καλέσας ὁ Ξάνθος Σχολαστικοὺς εἰς ἄριστον, τῷ Αἰσώπῳ φησίν· ὀψώνησον ἀπελθὼν πᾶν ὅ,τι χρηστότατόν τε, καὶ βέλτιστον. Ὁ δὲ ἀπιὼν καθ᾽ ἑαυτὸν ἔλεγεν· ἐγὼ διδάξω τὸν Δεσπότην μὴ μωρὰ διαπράττεσθαι. Γλώττας οὖν μόνας ὑείους πριάμενος, καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι γλῶτταν ὀπτὴν ἑκάστῳ σὺν ὀξυγάρῳ παρέθηκε. Τῶν δὲ Σχολαστικῶν ἐπαινεσάντων ὡς φιλόσοφον τὸ πρῶτον ἔδεσμα, διὰ τὴν τῆς γλώττης πρὸς τὸν λόγον ὑπηρεσίαν, πάλιν Αἴσωπος ἑφθὰς γλώττας παρέθηκε. Καὶ αὖθις οὖν βρώματος αἰτηθέντος ἄλλου, καὶ ἄλλου, οὐδ᾽ οὐδὲν ἕτερον, ὅτι μὴ γλώττας προὐτίθη. Τῶν δὲ Σχολαστικῶν ἐπὶ τῷ ταὐτῷ τῆς τροφῆς ἀγανακτησάντων, καὶ μέχρι τίνος γλώττας εἰπόντων, καὶ ὡς ἡμεῖς δι᾽ ἡμέρας γλώττας ἐσθίοντες, τὰς ἡμετέρας ἠλγήσαμεν· ὁ Ξάνθος φησὶ πρὸς ὀργήν· οὐδέν σοι πάρεστιν ἕτερον Αἴσωπε; Καὶ ὅς, οὐ δῆτα. Κἀκεῖνος, οὐκοῦν ἐνετειλάμην σοι κατάρατον ἀνθρώπιον, πᾶν ὅ,τι χρηστότατόν τε, καὶ ἄριστον ὀψωνῆσαι; Καὶ ὁ Αἴσωπος, πολλὰς ὁμολογῶ σοι τὰς χάριτας μεμφομένῳ με, Φιλοσόφων ἀνδρῶν παρόντων· τί ἂν οὖν γένοιτο γλώττης χρηστότερόν τε, καὶ βέλτιον ἐν τῷ βίῳ; πᾶσα γὰρ παιδεία, καὶ φιλοσοφία δι᾽ αὐτῆς παιδεύεται, καὶ διδάσκεται. Δι᾽ αὐτῆς δόσεις, λήψεις, ἀγοραὶ, ἀσπασμοὶ, εὐφημίαι, μοῦσα πᾶσα· δι᾽ αὐτῆς συγκροτοῦνται γάμοι, πόλεις ἀνορθοῦνται, ἄνθρωποι διασώζονται· καὶ συνελόντι φάναι, δι᾽ αὐτῆς ἅπας ὁ βίος ἡμῶν συνέστηκεν· οὐδὲν ἄρα τῆς γλώττης ἄμεινον. Ἐπὶ τούτοις οἱ Σχολαστικοὶ τὸν μὲν Αἴσω-

πον

πον ὀρθῶς λέγειν φάμενοι, ἡμαρτηκέναι δὲ τὸν διδάσκαλον, διεληλύθασιν ἕκαστος ἐπ' οἴκου.

Τῇ δ' ὑστεραίᾳ πάλιν αἰτιωμένων αὐτῶν τὸν Ξάνθον, ἐκεῖνος ἀπελογεῖτο, μὴ κατὰ γνώμην αὐτοῦ ταῦτα γεγονέναι, ἀλλὰ τοῦ ἀχρείου δούλου τῇ κακουργίᾳ· σήμερον δὲ ἐπιμείψει τὸ δεῖπνον, κἀγὼ δὲ παρόντων ὑμῶν αὐτῷ διαλέξομαι. Καὶ καλέσας αὐτὸν, πᾶν ὅ,τι φαυλότατόν τε, καὶ χείριστον ὀψωνῆσαι κελεύει, ὡς τῶν Σχολαστικῶν σὺν αὐτῷ δειπνησόντων. Ὁ δὲ, μηδὲν διατραπεὶς, πάλιν γλώσσας ἐπρίατο, καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι παρέθηκεν. Οἱ δὲ πρὸς ἀλλήλους ὑπεφώνουν, χοίρειαι πάλιν γλῶσσαι. Καὶ μετὰ μικρὸν αὖθις γλώττας παρέθηκε, καὶ μάλα αὖθις, καὶ αὖθις. Τοῦ Ξάνθου δὲ δυσαναχετήσαντος, καὶ τί τοῦτο Αἴσωπε, εἰρηκότος, μὴ πάλιν ἐνετειλάμην σοι πᾶν ὅ,τι χρηστότατόν τε, καὶ βέλτιστον ὀψωνῆσαι; οὐχὶ πᾶν ὅ,τι φαυλότατόν τε, καὶ χείριστον; Ὁ δὲ, καὶ τίποτε χεῖρον τῆς γλώττης, ὦ Δέσποτα; οὐ πόλεις δι' αὐτῆς καταπίπτουσιν; οὐκ ἄνθρωποι δι' αὐτῆς ἀναιροῦνται; οὐ ψεύδη πάντα, καὶ βλασφημίαι, καὶ ἐπιορκίαι διὰ ταύτης περαίνονται; οὐ γάμοι, καὶ ἀρχαὶ, καὶ βασιλεῖαι δι' αὐτῆς ἀνατρέπονται; οὐχ ὡς κεφάλαιον εἰπεῖν, ὁ βίος δι' αὐτῆς ἅπας μυρίων πλημμελημάτων γέμει; Ταῦτα τοῦ Αἰσώπου φαμένου, τὶς τῶν συνανακειμένων, τῷ Ξάνθῳ φησίν· οὗτος, εἰ μὴ πάνυ σεαυτὸν ἀσφαλίσῃ, οὐκ ἂν ἄπορος εἴη μανίας ἀφορμή σοι γενέσθαι· οἵα γὰρ ἡ μορφὴ, τοιάδε καὶ ἡ ψυχή. Καὶ ὁ Αἴσωπος πρὸς αὐτόν· σύ μοι δοκεῖς, ἄνθρωπε, κακεντρεχής τις, καὶ περίεργος εἶναι, Δεσπότην παροξύνων κατὰ οἰκέτου. Καὶ ὁ Ξάνθος πρὸς ταῦτα, προφάσεως ἐφιέμενος μαστιγῶσαι τὸν ἄνθρωπον, δραπέτα, φησίν,

σὶν,



σὶν, ἐπεὶ περίεργον εἶπας τὸν φίλον, δεῖξόν μοι ἀπερίεργον ἄνθρωπον ἀγαγών.

Ἐξελθὼν τοίνυν τῆς ἐπιούσης ἐπὶ τῆς λεωφόρου ὁ Αἴσωπος, καὶ τοὺς παριόντας περισκοπῶν, ὁρᾷ τινα ἐφ' ἑνὸς τόπου ἱκανὸν χρόνον καθίσαντα, ὃν καὶ δοκιμάσας καθ' αὑτὸν ἀπράγμονά τινα, καὶ ἁπλοῦν εἶναι, προσελθών φησιν· ὁ Δεσπότης σε καλεῖ σὺν αὐτῷ ἀριστῆσαι. Καὶ ὁ ἄγροικος ἐκεῖνος μηδὲν περιεργασάμενος, μήτε τίς ὢν ὑπὸ τίνος καλεῖται, εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ σὺν τοῖς ὑποδήμασι φαύλοις οὖσιν ἀνέπεσεν. Ἐρομένου δὲ τοῦ Ξάνθου, τίς οὗτος; Αἴσωπος εἶπεν, ἀπερίεργος ἄνθρωπος. Καὶ ὁ Ξάνθος εἰς οὓς εἰπὼν τῇ γυναικὶ συνυποκριθῆναι αὐτῷ, καὶ ὅπερ ἂν αὐτὸς ἐπιτάττῃ ποιεῖν, ὡς ἂν εὐπροσώπῳ λόγῳ πληγὰς τῷ Αἰσώπῳ ἐντείνειεν, εἶτα ἐν ἐπηκόῳ πάντων φησί· Κυρία, ὕδωρ ἐπὶ τῆς λεκάνης βαλοῦσα, τοὺς πόδας τοῦ ξένου νίψον. Διενοεῖτο γὰρ καθ' αὑτὸν, ὡς πάντως ὁ μὲν ξένος εὐλαβηθήσεται, ὁ δ' Αἴσωπος, ὡς ἐκείνου περιέργου φανέντος, πληγὰς λήψεται. Ἡ μὲν οὖν βαλοῦσα τὸ ὕδωρ εἰς τὴν λεκάνην, ᾔει τοὺς πόδας τοῦ ξένου νίψουσα. Ὁ δὲ γνοὺς ταύτην οὖσαν τὴν τοῦ οἴκου Δεσπότιν, καθ' ἑαυτὸν εἶπε· τιμῆσαί με πάντως βούλεται· τοῦτο δὲ χάριν αὐτοχειρίᾳ τοὺς πόδας μου βούλεται νίψαι, ἐπεὶ θεραπαινίσιν εἶχεν ἂν τοῦτ' ἐπιτάξαι. Προτείνας οὖν τοὺς πόδας, νίψον κυρία, φησὶ καὶ νιψάμενος ἀνεκλίθη. Τοῦ δὲ Ξάνθου κελεύσαντος οἶνον τῷ ξένῳ δοθῆναι πιεῖν, πάλιν ἐκεῖνος διελογίσατο καθ' αὑτὸν, ὡς αὐτοὺς μὲν τὸ πρότερον ἔδει πιεῖν, ἐπεὶ δ' οὕτως αὐτοῖς ἔδοξεν, οὐδὲν ἔργον ἐμοὶ τὰ τοιαῦτα ἐρευνᾶν, καὶ λαβὼν ἔπιεν. Ἀριστούντων δὲ, καί τινος ἐδέσματος τῷ ξένῳ παρατεθέντος, κα-

κεί-

κείνου ἡδέως ἐσθίοντος, ὁ Ξάνθος τῷ μαγείρῳ, ὡς κακῶς τοῦτο ἀρτύσαντι, ἐνεκάλει, καὶ μέν τοι καὶ ἀποδυθέντι πληγὰς ἐνεφόρει. Ὁ δ᾽ ἀγροιώτης καθ᾽ αὐτὸν ἔλεγε· τὸ μὲν ἔδεσμα ἄριστα ἕψηται, καὶ οὐδενὸς αὐτῷ δεῖ πρὸς τὸ καλῶς ἔχειν· εἰ δὲ καὶ δίχα προφάσεως βούλεται τὸν αὐτοῦ δοῦλον μαστιγοῦν ὁ οἰκοδεσπότης, τί πρὸς ἐμέ; Τοῦ δὲ Ξάνθου ἀγάλλοντος, καὶ οὐχ ἡδέως διακειμένου, ἐπεὶ μηδὲν ὁ ξένος περιεργάτο, τέλος πλακοῦντες ἠνέχθησαν. Ὁ δὲ ξένος, ἅτε δὴ μήπω πλακοῦντος γευσάμενος, σωρεύων, καὶ συνελῶν αὐτοὺς, ὡς ψωμοὺς ἤσθιε. Τοῦ δὲ Ξάνθου τὸν ἀρτοποιὸν αἰτιασαμένου, καὶ τί δή ποτε, ὦ κατάρατε, φαμένου, καὶ μέλιτος δίχα, καὶ πεπέρεως τοὺς πλακοῦντας ἐσκεύασας; Ἐκεῖνος ἔφη, εἰ μὲν ὠμός ἐστιν, ὦ δέσποτα, ὁ πλακοῦς, ἐμὲ τύπτε· εἰ δ᾽ οὐχ ὡς ἔδει ἐσκευάσαι, μὴ ἐμὲ, ἀλλὰ τὴν δέσποιναν αἰτιῶ. Καὶ ὁ Ξάνθος, εἰ πρὸς τῆς ἐμῆς τοῦτο γέγονε γυναικὸς, ζῶσαν αὐτὴν ἀρτίως κατακαύσω. Καὶ πάλιν τῇ γυναικὶ νεύει, αὐτῷ συνυποκριθῆναι διὰ Αἴσωπον. Κελεύσας οὖν κληματίδας εἰς τὸ μέσον ἀχθῆναι, πυρὰν ἀνῆψε· καὶ λαβόμενος τῆς γυναικὸς, ἐγγὺς τῆς πυρᾶς ἤγαγε, προσδοκήσιμος ὢν αὐτὴν εἰς τὸ πῦρ ἐπαφεῖναι. Διέτριβε δέ πως, καὶ περιεβλέπετο τὸν ἀγροῖκον, εἴπως ἀναστὰς τοῦ τοιοῦδε τολμήματος εἶρξαι αὐτὸν ἐγχειρήσειεν. Ὁ δὲ καθ᾽ αὐτὸν αὖθις διεσκοπεῖτο, ὡς αἰτίας μὴ παρούσης, τί δή ποτε οὗτος ὀργίζεται; Εἶτά φησιν· Οἰκοδέσποτα, εἰ τοῦτο κέκρικας δεῖν γενέσθαι, ὑπόμεινόν με μικρὸν, μέχρις ἂν ἀπελθὼν ἐνέγκω μὲν καὶ αὐτὸς ἐξ ἀγροῦ τὴν γυναῖκα, ὡς ἂν ἄμφω κατὰ τὸ αὐτὸ κατακαύσῃς. Ταῦτα τοῦ ἀνδρὸς ὁ Ξάνθος ἀκούσας, καὶ τὸ τούτου ἀκέραιον, καὶ γενναῖον θαυμάσας, τῷ Αἰσώπῳ

φη-



φησίν· ἴδε ἀληθῶς ἄνθρωπος ἀπερίεργος· ἔχεις τὰ νικητήρια λαβὼν, Αἴσωπε· ἅλις ἔχει σοι τοῦ λοιποῦ· τὸ δ᾽ ἐντεῦθεν, ἐλευθερίας τῆς σῆς ἐπιτεύξῃ.

Τῆς δ᾽ ἐπιούσης ὁ Ξάνθος ἐπέταξε τῷ Αἰσώπῳ εἰς τὸ βαλανεῖον ἀπελθεῖν, καὶ σκέψασθαι, εἰ μὴ πολὺς πάρεστιν ὄχλος, βούλεσθαι γὰρ αὐτὸν λουθῆναι. Ἀπιόντι δὲ ὁ στρατηγὸς συναντήσας, καὶ τοῦ Ξάνθου γνοὺς αὐτὸν ὄντα, ἤρετο, ποῖ πορεύοιτο. Τοῦ δὲ, οὐκ οἶδα, φαμένου, νομίσας ὁ στρατηγὸς τὴν ἐρώτησιν αὐτοῦ παρ᾽ οὐδὲν λογισθῆναι, εἰς εἱρκτὴν αὐτὸν ἀπαχθῆναι κελεύει. Ἀπαγόμενος τοίνυν ὁ Αἴσωπος ἔκραξεν· ὁρᾷς, ὦ στρατηγὲ, ὅπως ὀρθῶς ἀπεκρίθην; ἃ γὰρ μὴ προσεδόκησα, καὶ συνήντησά σοι, καὶ εἰς εἱρκτὴν ἤδη ἀπάγομαι. Καὶ ὁ στρατηγὸς ἐκπλαγεὶς ἐπὶ τῷ τῆς ἀπολογίας ἑτοίμῳ, ἀφῆκεν ἀπιέναι. Αἴσωπος δὲ παραγενόμενος εἰς τὸ βαλανεῖον, καὶ πλῆθος ἐν αὐτῷ θεασάμενος ὄχλου, καὶ λίθον ὁρᾷ κατὰ τὸ τῆς εἰσόδου μεσαίτατον κείμενον, ἐφ᾽ ὃν ἕκαστος τῶν εἰσιόντων τε, καὶ ἐξιόντων τὸν πόδα προσέπταιε. Τοῦτον δὲ εἷς τις εἰσιὼν, ἐφ᾽ ᾧ λούσασθαι, ἄρας μετέθηκεν. Ὑποστρέψας οὖν πρὸς τὸν Δεσπότην, εἰ κελεύεις, φησὶ, Δέσποτα λούσασθαι, ἕνα ἄνθρωπον ἐν τῷ βαλανείῳ τεθέαμαι. Καὶ τοῦ Ξάνθου ἐλθόντος, καὶ τὸ πλῆθος τῶν λουομένων ἰδόντος, καὶ τί τοῦτο εἰπόντος, Αἴσωπε; οὐχ ἕνα ἄνθρωπον ἔφης ἑωρακέναι; ὁ Αἴσωπος ναί φησι· τὸν γὰρ λίθον ἐκεῖνον (τῇ χειρὶ δείξας) πρὸ τῆς εἰσόδου κείμενον εὗρον, ἐφ᾽ ὃν οἱ εἰσιόντες πάντες, καὶ ἐξιόντες προσέπταιον· εἷς δέ τις πρὶν ἢ προσπταῖσαι, ἄρας μετέθηκεν. Ἐκεῖνον οὖν ἕνα ἄνθρωπον εἶπον ἑωρακέναι, προτιμήσας τῶν ἄλλων. Καὶ ὁ Ξάνθος, οὐδὲν παρὰ τῷ Αἰσώπῳ ἀργὸν εἰς ἀπολογίαν. Ἄλλο-

τε

τέ ποτε τοῦ Ξάνθου ἐξ ἀφέδρου ἐπανιόντος, καὶ πυθομένου τὸν Αἴσωπον, τί δή ποτε οἱ ἄνθρωποι μετ᾽ ἀπόπατον τὰ τῆς γαστρὸς ἐκκρίμματα βλέπουσιν; Ἐκεῖνος ἔφη· κατὰ τοὺς παλαιοὺς χρόνους ἀνήρ τις τῶν τρυφερώτερον ζώντων, πολὺν χρόνον ὑπὸ σπατάλης ἐν ἀφόδῳ ἐκάθητο, ὡς καὶ τὰς οἰκείας ἐκεῖ διατρίβων ἀποπατῆσαι φρένας· ἐξ ἐκείνου τοίνυν δεδοικότες οἱ λοιποὶ τῶν ἀνθρώπων, πρὸς τὰ τῆς γαστρὸς ἀφορῶσι λύματα, μήπως καὶ αὐτοὶ τοῦτο πεπόνθασιν· ἀλλὰ σὺ Δέσποτα μὴ φοβοῦ· οὐ γὰρ ἔχεις φρένας.

Ἐν ἡμέρᾳ δέ τινι συμποσίου συγκροτηθέντος, καὶ τοῦ Ξάνθου σὺν τοῖς ἄλλοις τῶν Φιλοσόφων ἀνακλιθέντος, καὶ τοῦ πότου ἤδη ἐπικρατήσαντος, συχνὰ προβλήματα μεταξὺ τούτων ἐκαλινδεῖτο· καὶ τοῦ Ξάνθου ἀρξαμένου ταράττεσθαι, Αἴσωπος παρεστὼς ἔφη· Δέσποτα, Διόνυσος τρεῖς κέκτηται κράσεις, τὴν μὲν πρώτην, ἡδονῆς, τὴν δὲ δευτέραν, μέθης, τὴν δὲ τρίτην, ὕβρεως· καὶ ὑμεῖς οὖν πεπωκότες ἤδη, καὶ ἡσθέντες, τὰ ἐφεξῆς καταλείπετε. Καὶ ὁ Ξάνθος ἤδη μεθύων φησὶ, σιώπα, τοῖς ἐν ᾅδῃ συμβούλευε. Καὶ ὁ Αἴσωπος, οὐκοῦν καὶ εἰς ᾅδου κατασπασθήσῃ. Τῶν δὲ Σχολαστικῶν τις ὑποβεβρεγμένον ἤδη τῇ μέθῃ τὸν Ξάνθον ἰδὼν, καὶ ὅλον εἰπεῖν οἰνόφλυγα, καθηγητά φησι, δύναταί τις ἐκπιεῖν τὴν θάλατταν ἄνθρωπος; Καὶ ὃς, πάνυ μὲν οὖν· ἐγὼ γὰρ αὐτὸς ταύτην ἐκπίομαι. Καὶ ὁ Σχολαστικὸς, εἰ δ᾽ οὐ δυνήσῃ, τίποτέ σοι τίμημα ἐπιγράψω; Καὶ ὁ Ξάνθος, τὴν οἰκίαν μου τίθημι πᾶσαν. Καὶ ἐπὶ τούτοις καταθέμενοι τοὺς δακτυλίους, τὰς συνθήκας ἐκύρωσαν. Τότε μὲν οὖν διελελύθασι. Τῇ δ᾽ ὑστεραίᾳ πρωΐας ἐξεγερθέντος τοῦ Ξάνθου, καὶ τήν τε ὄ-

ψιν



ψιν νιψαμένου, καὶ τὸν δακτύλιον ἐν τῷ νίπτεσθαι μὴ ἰδόντος, καὶ τὸν Αἴσωπον περὶ αὐτοῦ πυθομένου, ἐκεῖνος, οὐκ οἶδα, φησὶ, τίποτε γέγονεν· ἓν δ᾽ οἶδα μόνον, ὅτι τῆς οἰκίας σαυτοῦ ἀλλότριος γέγονας. Καὶ ὁ Ξάνθος, ὅτι τί δή; Καὶ ὁ Αἴσωπος, ὅτι τὴν χθὲς μεθύων συνέθου τὴν θάλατταν ἐκπιεῖν· κἀπὶ ταῖς ὁμολογίαις κατέθου καὶ τὸν δακτύλιον. Κἀκεῖνος, καὶ πῶς ἄρ᾽ ἐγὼ μεῖζον πίστεως ἔργου δυνήσομαι; ἀλλὰ σοῦ νῦν δέομαι, εἴτις σύνθεσις, εἴτις δεινότης, καὶ ἐμπειρία, ξυμπαρίστασο, καὶ βοήθειαν ὄρεγε, ὡς περιγενέσθαι, ἢ τάς γε συνθήκας λῦσαι. Καὶ ὁ Αἴσωπος, περιγενέσθαι μὲν οὐκ ἔνι, λυθῆναι δὲ τὰς ὁμολογίας ποιήσω· ἐπειδὰν γὰρ αὖθις τήμερον εἰς ταὐτὸ συνέλθητε, μηδ᾽ ὁτιοῦν φανῇς δειλιάσας, ἀλλ᾽ ἅπερ ὡμολόγησας παροινῶν, ταῦτα καὶ νήφων λέγε· κέλευσον μέν τοι στρώματα, καὶ τράπεζαν παρὰ τὴν ἠϊόνα τεθῆναι, καὶ παῖδας ἑτοίμους σὺν ἐκπώμασιν ὀρέγειν σοι τὸ θαλάττιον ὕδωρ· ἐπειδὰν δὲ σύμπαντα θεάσῃ τὸν ὄχλον συνδεδραμηκότα ἐπὶ τὴν θέαν, αὐτὸς ἀναπεσὼν κέλευσον ἐκ τῆς θαλάττης πληθῦναι τὸ ἔκπωμα, καὶ τοῦτο λαβὼν ἐν ἐπηκόῳ πάντων εἰπὲ τῷ συνθηκοφύλακι· τίνας παρ᾽ ἡμῖν πεποιήκαμεν τὰς συνθήκας; καὶ ὃς ἀποκρινεῖταί σοι, ὡς ὡμολόγησας τὴν θάλασσαν ἐκπιεῖν. Στραφεὶς οὖν σὺ πρὸς ἅπαντας, οὕτω φράσον. Ἄνδρες Σάμιοι, ἴστε καὶ ὑμεῖς πάντως πλείστους ὅσους ποταμοὺς ἐκβάλλοντας εἰς τὴν θάλασσαν, ἐγὼ δὲ συνεθέμην μόνην τὴν θάλατταν ἐκπιεῖν, οὐ μὴν καὶ τοὺς ἐξιόντας εἰς αὐτὴν ποταμούς. Οὗτος οὖν ὁ Σχολαστικὸς ἀπελθὼν πρότερον ἐπισχέτω τοὺς ποταμοὺς ἅπαντας, εἶτα δ᾽ εὐθὺς ἐγὼ τὴν θάλατταν μόνην ἐκπίομαι. Ὁ δὲ Ξάνθος τὴν μέλλουσαν ἐκ τούτων

τῆς

τῆς συνθήκης διάλυσιν ἔσεσθαι, γνοὺς ὑπερήσθη. Τοῦ δήμου τοίνυν παρὰ τὸν αἰγιαλὸν συῤῥεύσαντος ἐπὶ θέαν τοῦ πραχθήσεσθαι μέλλοντος, καὶ τοῦ Ξάνθου κατὰ τὰ διδαχθέντα πρὸς τοῦ Αἰσώπου δράσαντος, καὶ εἰπόντος· οἱ Σάμιοι ἀνεβόησαν εὐφημοῦντες αὐτὸν, καὶ θαυμάζοντες. Ὁ δὲ Σχολαστικὸς προσπεσὼν τηνικαῦτα τῷ Ξάνθῳ, νενικῆσθαί τε ὡμολόγει, καὶ τὰς συνθήκας ἐδεῖτο λῦσαι· ὃ καὶ πεποίηκε Ξάνθος, δυσωποῦντος τοῦ δήμου.

Ἀφικομένων δ' αὐτῶν εἰς τὴν οἰκίαν, Αἴσωπος προσελθὼν τῷ Ξάνθῳ φησίν· ὁ πάντα σοι τὸν βίον χαρισάμενος ἐγὼ, οὐκ ἄξιός εἰμι Δέσποτα τυχεῖν ἐλευθερίας; Καὶ ὁ Ξάνθος λοιδορήσας αὐτὸν ἀπήλασε, λέγων· μὴ γὰρ οὐ βουλομένῳ μοι ἦν τοῦτο πρᾶξαι; ἀλλ' ἔξελθε πρὸ τοῦ πυλῶνος, καὶ σκέψαι· κἂν ἴδῃς δύο κορώνας, ἀνάγγειλόν μοι· ἀγαθὸς γὰρ οἰωνὸς οὗτος· ἐπεὶ εἰ μίαν ἴδῃς, τοῦτο πονηρόν. Προσελθὼν οὖν ὁ Αἴσωπος, καὶ συμβὰν οὕτω, δύο κορώνας ἐπί τινος ἰδὼν δένδρου καθεζομένας, προσελθὼν τῷ Ξάνθῳ ἀνήγγειλεν. Ἐξιόντι δὲ τῷ Ξάνθῳ ἡ ἑτέρα τούτων ἀπέπτη· καὶ ὁ Ξάνθος θατέραν μόνην ἰδὼν, ἔφη· οὐκ εἶπάς μοι, κατάρατε, δύο ἑωρακέναι; Καὶ ὃς, οὕτως· ἀλλ' ἡ ἑτέρα ἀπέπτη. Καὶ ὁ Ξάνθος, ἐπέλειπέ σοι δραπέτα τὸ χλευάζειν με; καὶ κελεύει αὐτὸν γυμνωθέντα τύπτεσθαι. Τοῦ δ' Αἰσώπου μαστιγουμένου, προσελθών τις ἐκάλει ἐπὶ τὸ δεῖπνον τὸν Ξάνθον. Καὶ ὁ Αἴσωπος ἔτι τυπτόμενος ἀνεβόησεν· οἴμοι τῷ δυστήνῳ! ἐγὼ μὲν γὰρ ὁ τὸ δικόρωνον ἰδὼν, τύπτομαι, σὺ δ' ὁ μίαν ἰδὼν μόνην, εἰς εὐωχίαν ἄπει· ἕωλος ἄρ' ἦν ἡ οἰωνοσκοπία. Καὶ Ξάνθος τὸ ἀγχίνουν αὐτοῦ θαυμάσας, παύσασθαι κελεύει τυπτόμενον. Μετὰ δ' οὐ πολλὰς ἡμέρας φι-

σό-



σόφους, καὶ ῥήτορας καλέσας ὁ Ξάνθος, ἐκέλευσε τῷ Αἰσώπῳ πρὸ τοῦ πυλῶνος στῆναι, καὶ μηδένα τῶν ἰδιωτῶν εἰσελθεῖν συγχωρῆσαι, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους. Τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας Αἴσωπος τὸν πυλῶνα, ἐντὸς ἐκαθέσθη. Τῶν κεκλημένων δέ τινος ἐλθόντος, καὶ τὴν θύραν κόπτοντος, Αἴσωπος ἔνδοθεν ἔφη· τί σείει ὁ κύων; Ὁ δὲ νομίσας κύων κληθῆναι, ὀργισθεὶς ἀνεχώρησεν. Οὕτως οὖν ἕκαστος ἀφικνούμενος, αὖθις ἀπῄει σὺν ὀργῇ, νομίζων ὑβρίζεσθαι, τοῦ Αἰσώπου ταὐτὰ πάντας ἔνδοθεν ἐρωτῶντος. Ἑνὸς δ' αὐτῶν κόψαντος, καὶ τί σείει ὁ κύων ἀκούσαντος, καὶ τήν τε κέρκον, καὶ τὰ ὦτα ἀποκινηθέντος, Αἴσωπος αὐτὸν ὀρθῶς δοκιμάσας ἀποκεκρίσθαι, ἀνοίξας πρὸς τὸν Δεσπότην ἤγαγε, καί φησιν· οὐδεὶς τῶν Φιλοσόφων συνεστιαθῆναί σοι ἦλθεν ὦ Δέσποτα, πλὴν οὗτος μόνος. Καὶ ὁ Ξάνθος σφόδρα ἠθύμισε, παραλελογίσθαι οἰηθεὶς ὑπὸ τῶν κληθέντων. Τῆς δ' ὑστεραίας συνελθόντες οἱ κληθέντες ἐπὶ τὴν διατριβὴν, ἐνεκάλουν τῷ Ξάνθῳ φάσκοντες· ὡς ἔοικας, ὦ καθηγητὰ, ἐπεθύμεις μὲν αὐτὸς ἐξουδενῶσαι ἡμᾶς, αἰδούμενος δὲ, τὸν σαπρὸν ἐπὶ τοῦ πυλῶνος ἔστησας Αἴσωπον, ὡς προπηλακίσαι, καὶ κύνας ἡμᾶς ἀποκαλέσαι. Καὶ ὁ Ξάνθος, ὄναρ τοῦτ' ἐστὶν, ἢ ὕπαρ; Κἀκεῖνοι· εἰ μὴ ῥέγχομεν, ὕπαρ. Καὶ δὴ τάχος μετακληθεὶς Αἴσωπος, καὶ ἐρωτηθεὶς σὺν ὀργῇ, τοῦ χάριν τοὺς φίλους ἀτίμως ἀπέστρεψεν; ἔφη· οὐχὶ σύ μοι Δέσποτα ἐνετείλω, μή τινα τῶν ἰδιωτῶν, καὶ ἀμαθῶν ἀνδρῶν ἐᾶσαι πρὸς τὴν σὴν συνελθεῖν εὐωχίαν, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους; Καὶ ὁ Ξάνθος, καὶ τίνες οὗτοι; οὐ τῶν σοφῶν. Καὶ ὁ Αἴσωπος, οὐδεμιᾷ μηχανῇ· αὐτῶν καὶ γὰρ κοπτόντων τὴν θύραν, κἀμοῦ ἔνδοθεν ἐρωτῶντος, τίποτε σείει

ὁ

ὁ κύων; οὐδ᾽ ὅστις οὖν αὐτῶν συνῆκε τὸν λόγον. Ἐγὼ γοῦν ὡς ἀμαθῶν πάντων φανέντων, οὐδένα τούτων εἰσήγαγον, πλὴν τὸν σοφῶς τοῦτον ἀποκριθέντα μοι. Οὕτως οὖν τοῦ Αἰσώπου ἀπολελογημένου ὀρθῶς ἅπαντες λέγειν αὐτὸν ἐψηφίσαντο.

Καὶ μεθ᾽ ἡμέρας πάλιν τινὰς ὁ Ξάνθος, ἑπομένου τοῦ Αἰσώπου, πρὸς τὰ μνήματα παρεγένετο, καὶ ἃ ἐν ταῖς λάρναξιν ἐπιγράμματα ἦν ἀναγινώσκων, ἑαυτὸν ἔτερπε. Τοῦ δ᾽ Αἰσώπου ἔν τινι τούτων ἐγκεχαραγμένα τὰ στοιχεῖα ταῦτα ἰδόντος, α, β, δ, ο, ε, θ, χ, ἐπιδείξαντός τε τῷ Ξάνθῳ, καὶ ἐρομένου, εἰ ἄρα ταῦτα εἰδείη, ἐπιμελῶς ἐκεῖνος σκεψάμενος, οὐχ οἷός τ᾽ ἐγένετο τὴν τούτων εὑρεῖν διασάφησιν, καὶ ὡμολόγησεν ἀπορῆσαι τοῖς ὅλοις. Καὶ ὁ Αἴσωπος· εἰ διὰ ταύτης τῆς στήλης, ὦ Δέσποτα, θησαυρὸν ὑποδείξω σοι, τίνι με ἀμείψῃ; Καὶ ὃς, θάρσει· λήψῃ γὰρ καὶ τὴν ἐλευθερίαν σου, καὶ τὸ ἥμισυ τοῦ χρυσίου. Τότε ὁ Αἴσωπος, ἀποσχὼν τῆς στήλης βήματα τέσσαρα, καὶ ὀρύξας, ἀνέλαβέ τε τὸν θησαυρὸν, καὶ ἤνεγκε τῷ Δεσπότῃ, λέγων· δός μοι τὴν ἐπαγγελίαν, δι᾽ ἧς εὗρες τὸν θησαυρόν. Καὶ ὁ Ξάνθος· οὐχ ὅσα κἀμὲ εἰδέναι, εἰ μὴ καὶ τὸν νοῦν τῶν στοιχείων μοι φράσῃς· τὸ γὰρ μαθεῖν τοῦτο, πολὺ τοῦ εὑρήματος ἐμοὶ τιμιώτερον. Καὶ ὁ Αἴσωπος· ὁ τὸν θησαυρὸν κατορύξας ἐνταῦθα, ὡς σοφὸς ἀνὴρ τὰ στοιχεῖα διεχάραξε ταῦτα, ἃ καὶ φασίν. α, ἀποβάς. β, βήματα. δ, τέσσαρα. ο, ὀρύξας. ε, εὑρήσεις. θ, θησαυρόν. χ, χρυσίου. Καὶ ὁ Ξάνθος, ἐπειδήπερ οὕτως ἐπίβολος εἶς, καὶ πανοῦργος, οὐ λήψῃ σου τὴν ἐλευθερίαν. Καὶ ὁ Αἴσωπος, ἀναγγελῶ δοθῆναι, ὦ Δέσποτα, τὸ χρυσίον τῷ βασιλεῖ Βυζαντίων· ἐκείνῳ γὰρ τεταμίευται. Καὶ ὁ Ξάν-



θος, πόθεν τοῦτ᾽ οἶδα; Κἀκεῖνος, ἐκ τῶν στοιχείων, τοῦτο γὰρ φασιν. α, ἀπόδος. β, βασιλεῖ. δ, Διονυσίῳ. ο, ὃν. ε, εὗρες. θ, θησαυρόν. χ, χρυσίου. Καὶ ὁ Ξάνθος ἀκούσας τοῦ βασιλέως εἶναι τὸ χρυσίον, τῷ Αἰσώπῳ ἔφη· λαβὼν τὸ ἥμισυ τοῦ ἑρμαίου, ἡσύχασον. Κἀκεῖνος· οὐ σύ μοι νῦν τοῦτο παράσχεις, ἀλλ᾽ ὁ τὸ χρυσίον ἐνταυθοῖ κατορύξας, καὶ ὅπως, ἄκουσον· τοῦτο γὰρ λέγει τὰ γράμματα. α, ἀνελόμενοι. β, βαδίσαντες. δ, διέλεσθε. ο, ὃν. ε, εὕρετε. θ, θησαυρόν. χ, χρυσίου. Καὶ ὁ Ξάνθος, δεῦρό φησιν εἰς τὴν οἰκίαν, ὡς ἂν καὶ τὸν θησαυρὸν διελώμεθα, καὶ σὺ τὴν ἐλευθερίαν ἀπολάβῃς. Ἐλθόντων οὖν, ὁ Ξάνθος φοβούμενος τὸ τοῦ Αἰσώπου λάλον, εἰς εἱρκτὴν αὐτὸν ἐκέλευσεν ἐμβληθῆναι. Καὶ ὁ Αἴσωπος ἀπαγόμενος, τοιαῦται φησὶν, εἰσὶν αἱ ὑποσχέσεις τῶν φιλοσόφων; οὐχ ὅτι γὰρ οὐκ ἀπολαμβάνω μου τὴν ἐλευθερίαν, ἀλλὰ καὶ εἰς δεσμωτήριον κελεύεις βληθῆναί με; Ὁ μὲν οὖν Ξάνθος ἐκέλευσεν αὐτὸν ἀπολυθῆναι, καὶ πρὸς αὐτὸν ἔφη· πάνυ καλῶς φῂς, ἵν᾽ ἐλευθερίας τυχὼν, σφοδρότερός μου γένῃ κατήγορος. Ὁ δὲ Αἴσωπος εἶπεν· ὅ,τι ποτέ με ἔχεις κακὸν ποιεῖν, ποίει, πάντως καὶ ἄκων ἐλευθερώσεις με.

Κατὰ δὲ τοὺς καιροὺς τούτους συνέπεσέ τι τοιοῦτον ἐν Σάμῳ. Πανδήμου ἑορτῆς ἀγομένης, αἴφνης ἀετὸς καταπτὰς, καὶ τὸν δημόσιον ἁρπάσας δακτύλιον, εἰς δούλου κόλπον ἀφῆκεν. Οἱ μὲν οὖν Σάμιοι θορυβηθέντες, καὶ εἰς πλείστην περὶ τοῦδε τοῦ σημείου πεσόντες τὴν ἀγνωσίαν, κατὰ ταὐτὸν ἀθροισθέντες, ἤρξαντο δεῖσθαι τοῦ Ξάνθου, ἅτε πρώτου τῶν πολιτῶν ὄντος, καὶ φιλοσόφου, σφίσι τὴν κρίσιν τοῦ σημείου δια-



SISMANOGLIO MEGARO

διασαφῆσαι. Ὁ δὲ τοῖς ὅλοις ἐπαπορῶν, χρόνον ἠτησε. Καὶ ἀφικόμενος οἴκαδε, πολὺς ἦν ἀθυμῶν, καὶ τῇ λύπῃ βαπτιζόμενος, οἷα δὴ μηδὲν κρῖναι δυνάμενος. Ὁ δ᾽ Αἴσωπος τὴν ἀθυμίαν συννοήσας τοῦ Ξάνθου, προσελθὼν λέγει· τοῦ χάριν ὦ Δέσποτα οὕτω διατελεῖς ἀθυμῶν; ἐμοὶ προσανάθου, χαίρειν εἰπὼν τῷ λυπεῖσθαι· αὔριον δ᾽ εἰς ἀγορὰν προσελθὼν, εἰπὲ τοῖς Σαμίοις, ὡς ἐγὼ μὲν οὔτε σημειολυτεῖν ἐπαιδεύθην, οὔτ᾽ οἰωνοσκοπεῖν, παῖς δέ μοι πρόσεστι πολλῶν πεῖραν εἰδὼς, αὐτὸς ὑμῖν τὸ ζητούμενον λύσει· καὶ εἰ μὲν αὐτὸς ἐπιτύχω τῆς λύσεως, Δέσποτα, σὺ τὴν δόξαν ἀποίσῃ, τούτῳ χρώμενος δούλῳ· ἂν ἀποτύχω, ἐμοὶ μόνῳ ἡ ἐντεῦθεν προσεμβήσεται ὕβρις. Πεισθεὶς οὖν ὁ Ξάνθος, καὶ τῆς ὑστεραίας εἰς τὸ θέατρον ἀπαντήσας, καὶ καταστὰς εἰς τὸ μέσον, κατὰ τὰς ὑποθήκας Αἰσώπου διελέχθη τοῖς συνελθοῦσιν. Οἱ δ᾽ εὐθέως ἠξίουν τὸν Αἴσωπον κληθῆναι. Τοῦ δ᾽ ἀφικομένου, καὶ στάντος ἐπὶ τὸ μέσον, οἱ Σάμιοι τὴν ὄψιν αὐτοῦ κατανοήσαντες, ἐρεσχελοῦντες ἐφώνουν· αὕτη ἡ ὄψις σημεῖον λύσει; ἐκ τοῦ αἰσχροῦ τούτου τίποτε καλὸν ἀκουσόμεθα; καὶ γελᾶν ἤρξαντο. Καὶ ὁ Αἴσωπος κατασείσας τῇ χειρὶ, καὶ ἡσυχίαν αἰτήσας γενέσθαι, φησίν. Ἄνδρες Σάμιοι, τί μου τὴν ὄψιν σκώπτετε; οὐκ εἰς τὴν ὄψιν, ἀλλ᾽ εἰς τὸν νοῦν ἀποβλέπειν χρή· πολλάκις γὰρ καὶ τῇ φαύλῃ μορφῇ χρηστὸν νοῦν ἡ φύσις ἐνέθηκεν· ἢ τὴν ἔξωθεν τῶν κεραμίων μορφὴν σκοπεῖτε ὑμεῖς, ἀλλ᾽ οὐ τὴν ἐντὸς γεῦσιν τοῦ οἴνου; Ταῦτα τοῦ Αἰσώπου πάντες ἀκούσαντες, ἔλεγον. Αἴσωπε, εἴτι δύνασαι, λέγε τῇ πόλει. Καὶ ὃς μετὰ παῤῥησίας ἔφη. Ἄνδρες Σάμιοι, ἐπειδήπερ ἡ τύχη, φιλόνεικος οὖσα, δόξης ἀγῶνα τέθεικε Δεσπότῃ, καὶ δούλῳ· κἂν μὲν ὁ δοῦλος



λος ἥττων φανῇ τοῦ Δεσπότου, διὰ μαστίγων ἐλεύσεται· εἰδ᾽ ἀμείνων, οὐδὲν ἔλαττον καὶ οὕτω πληγαῖς ξανθήσεται· εἰ ὑμεῖς διὰ τῆς ἐλευθερίας παῤῥησίαν χαρίσοισθέ μοι, ἐγὼ νῦν ὑμῖν ἀδεῶς τὸ ζητούμενον φράσω. Τότε ὁ δῆμος ἀπὸ μιᾶς γλώττης πρὸς τὸν Ξάνθον ἐβόων· ἐλευθέρωσον Αἴσωπον, ὑπάκουσον Σαμίοις, χάρισαι τὴν ἐλευθερίαν αὐτοῦ τῇ πόλει. Ὁ δὲ Ξάνθος οὐκ ἐπένευε, καὶ ὁ πρύτανις ἔφη Ξάνθε, εἰ μή σοι δοκεῖ ὑπακοῦσαι τῷ δήμῳ, ἐγὼ τῆσδε τῆς ὥρας Αἴσωπον ἐλεύθερον ἂν ποιήσαιμι, καὶ τότε σοι ὁμότιμος ἔσται. Τηνικαῦτα τοίνυν ὁ Ξάνθος ἀνάγκῃ τὴν ἐλευθερίαν ἀπέδωκε. Καὶ ὁ κῆρυξ ἐβόα. Ξάνθος ὁ Φιλόσοφος ἐλευθεροῖ Σαμίοις τὸν Αἴσωπον. Κἂν τούτῳ πέρας ὁ τοῦ Αἰσώπου λόγος εἰλήφει, φαμένου πρὸς τὸν Ξάνθον, ὡς καὶ ἄκων ἐλευθερώσεις με. Αἴσωπος οὖν ἐλευθερίας τυχὼν, στὰς εἰς τὸ μέσον, ἔφη. Ἄνδρες Σάμιοι, ὁ μὲν ἀετὸς, ὡς ἴστε, βασιλεὺς τῶν ὀρνίθων ἐστίν· ὅτι δὲ τὸν στρατηγικὸν δακτύλιον οὗτος ἁρπάσας ἀφῆκεν εἰς δούλου κόλπον, τοῦτο σημειώσειν βούλεται, ὅτι τῶν νυνὶ βασιλέων τις βούλεται ὑμῶν τὴν ἐλευθερίαν δουλῶσαι, καὶ τοὺς κυρίους νόμους ἀκύρους δεῖξαι. Ταῦτα οἱ μὲν Σάμιοι ἀκούσαντες, κατηφείας ἐπλήσθησαν.

Μετὰ δ᾽ οὐ πολὺν χρόνον καὶ γράμματα παρὰ Κροίσου τοῦ Λυδῶν βασιλέως ἧκει Σαμίοις, κελεύοντα τὸ ἀπὸ τοῦδε φόρους αὐτῷ παρέχειν, εἰ δὲ μὴ πείθοιντο, πρὸς μάχην ἑτοίμους εἶναι. Ἐβουλεύσαντο μὲν οὖν ἅπαντες, ἔδεισαν γὰρ ὑπήκοοι γενέσθαι τῷ Κροίσῳ· συνοῖσον μέντοι εἶναι καὶ Αἴσωπον ἐρωτῆσαι. Κἀκεῖνος ἐρωτηθεὶς εἶπε· τῶν ἀρχόντων ὑμῶν γνώμην δεδωκότων, εἰς φόρου ἀπαγωγὴν ὑπακούειν τῷ βα-

βασιλεῖ, συμβουλεύω μὲν οὐδ' ὥς, λόγον δὲ ἐρῶ ὑμῖν, καὶ εἴσεσθε τὸ συμφέρον. Ἡ τύχη δύο ὁδοὺς ἔδειξεν ἐν τῷ βίῳ, θατέραν μὲν ἐλευθερίας, ἧς ἡ μὲν ἀρχὴ δύσβατος, τὸ δὲ τέλος ὁμαλόν· θατέραν δὲ δουλείας ἧς ἡ μὲν ἀρχὴ εὐπετής τε, καὶ βάσιμος, τὸ δὲ τέλος ἐπώδυνον. Ταῦτα ἀκούσαντες οἱ Σάμιοι, ἀνεβόησαν· ἡμεῖς ἐλεύθεροι ὄντες, ἑκόντες οὐ γινόμεθα δοῦλοι, καὶ τὸν πρεσβευτὴν οὐ σὺν εἰρήνῃ ἀπέπεμψαν. Ὁ μὲν οὖν Κροῖσος ταῦτα μαθὼν, ἐβουλεύσατο πόλεμον κατὰ Σαμίων κινεῖν· ὁ δὲ πρεσβευτὴς ἀνήνεγκεν, ὡς οὐκ ἂν δυνηθείη Σαμίους ὑπὸ χεῖρα λαβεῖν, Αἰσώπου παρ' αὐτοῖς ὄντος, ὃς καὶ γνώμας ὑποτίθεται. Δυνῇ δὲ μᾶλλον, εἶπεν, ὦ βασιλεῦ, πρέσβεις ἀποστείλας, ἐξαιτῆσαι παρ' αὐτῶν Αἴσωπον, ὑποσχόμενος αὐτοῖς ἀντ' αὐτοῦ χάριτας ἄλλας τε δώσειν, καὶ λύσιν τῶν ἐπιταττομένων φόρων, καὶ τότε τάχα οἷός τε ἔστῃ τούτων περιγενέσθαι. Καὶ ὁ μὲν Κροῖσος κατὰ ταῦτα πρεσβευτὴν ἀποστείλας, ἔκδοτον ᾔτει τὸν Αἴσωπον. Σάμιοι δὲ τοῦτον ἐκδόσθαι γνώμης ἐγένοντο. Αἴσωπος δὲ τοῦτο μαθὼν, ἐν μέσῳ τῆς ἀγορᾶς ἔστη, καί φησιν. Ἄνδρες Σάμιοι, κἀγὼ μὲν περὶ πολλοῦ ποιοῦμαι παρὰ τοὺς πόδας ἀφικέσθαι τοῦ βασιλέως· ἐθέλω δὲ ὑμῖν ἕνα μῦθον εἰπεῖν. Καθ' ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν· τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι, καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι πρεσβευτὴν ἀποστείλαντες, ἔφασαν τοῖς προβάσιν, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ, καὶ μηδένα πόλεμον ὑποπτεύειν, τοὺς κύνας αὐτοῖς ἐκδοῦναι. Τῶν δὲ προβάτων ὑπ' ἀνοίας πεισθέντων, καὶ τοὺς κύνας ἐκδεδωκότων, οἱ λύκοι τούς τε κύνας διεσπάραξαν, καὶ τὰ πρόβατα ῥᾷστα διέφθει-





ραν. Οἱ Σάμιοι τοίνυν τὸ τοῦ μύθου βούλημα συννοήσαντες, ὥρμησαν μὲν παρ' ἑαυτοῖς κατασχεῖν τὸν Αἴσωπον. Ὁ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ τῷ πρεσβευτῇ συναποπλεύσας, πρὸς Κροῖσον ἀπῄει. Ἀφικομένων δ' αὐτῶν εἰς Λυδίαν, ὁ βασιλεὺς ἐπίπροσθεν αὐτοῦ στάντα τὸν Αἴσωπον θεασάμενος, ἠγανάκτησε, λέγων· ἴδε ποταπὸν ἀνθρώπιον ἐμποδών μοι γέγονε νῆσον ὑποτάξαι τοσαύτην; Καὶ ὁ Αἴσωπος· μέγιστε βασιλεῦ, οὐ βίᾳ, οὐδὲ ἀνάγκῃ πρὸς σὲ παρεγενόμην, ἀλλ' αὐθαίρετος πάρειμι· ἀνάσχου δέ μου μικρὸν ἀκοῦσαι. Ἀνήρ τις ἀκρίδας συλλέγων, καὶ ἀποκτεινὺς, εἷλε καὶ τέττιγα· ἐπεὶ δὲ κἀκεῖνον ἠβούλετο κτεῖναι, φησὶν ὁ τέττιξ· ἄνθρωπε, μή με μάτην ἀνέλῃς· ἐγὼ γὰρ οὔτε στάχυν βλάπτω, οὔτ' ἄλλο τι τῶν ἁπάντων σε ἀδικῶ. Τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ φθέγγομαι, τέρπων τοὺς ὁδοιπόρους· φωνῆς οὖν παρ' ἐμοὶ πλέον οὐδὲν εὑρήσεις· κἀκεῖνος ταῦτα ἀκούσας, ἀφῆκεν ἀπιέναι. Κἀγὼ οὖν ὦ βασιλεῦ τῶν σῶν ποδῶν ἅπτομαι, μή με εἰκῇ φονεύσῃς· οὐδὲ γὰρ οἷός τ' εἰμι ἀδικῆσαί τινα· ἐν εὐτελείᾳ δὲ σώματος γενναῖον φθέγγομαι λόγον. Ὁ δὲ βασιλεὺς θαυμάσας ἅμα, καὶ οἰκτείρας αὐτὸν, ἔφη. Αἴσωπε, οὐκοῦν ἐγώ σοι δίδωμι τὸ ζῆν, ἀλλ' ἡ μοῖρα· ὃ γοῦν θέλεις, αἴτει, καὶ λήψῃ. Καὶ ὅς, δέομαί σου βασιλεῦ, διαλλάγηθι Σαμίοις. Τοῦ δὲ βασιλέως εἰπόντος, διήλλαγμαι· πεσὼν ἐκεῖνος ἐπὶ τὴν γῆν, χάριτάς τε αὐτῷ ὡμολόγει. Καὶ μετὰ τοῦτο τοὺς οἰκείους συγγραψάμενος μύθους, τοὺς μέχρι καὶ νῦν φερομένους, παρὰ τῷ βασιλεῖ κατέλιπε.

Δεξάμενος δὲ παρ' αὐτοῦ γράμματα πρὸς Σαμίους ὡς ἕνεκεν Αἰσώπου τούτοις διήλλακται, καὶ

δῶρα πολλά, πλεύσας ἐπανῆλθεν εἰς Σάμον. Οἱ μὲν οὖν Σάμιοι τοῦτον ἰδόντες, στέμματά τε αὐτῷ προσήνεγκαν, καὶ χορὺς ἐπ' αὐτῷ συνεστήσαντο. Ὁ δὲ αὐτοῖς τά τε τοῦ βασιλέως ἀνέγνω γράμματα, καὶ ἀπέδειξεν ὡς τὴν εἰς αὐτὸν γενομένην παρὰ τοῦ δήμου ἐλευθερίαν, ἐλευθερίᾳ πάλιν ἠμείψατο. Μετὰ δὲ τοῦτο τῆς νήσου ἀπάρας, περιῄει τὴν οἰκουμένην, τοῖς ἁπανταχοῦ τῶν φιλοσόφων διαλεγόμενος. Ἀφικόμενος δὲ καὶ πρὸς Βαβυλῶνα, καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδειξάμενος, μέγας παρὰ τῷ βασιλεῖ Λυκήρῳ ἐγένετο. Κατ' ἐκείνους γὰρ τοὺς χρόνους οἱ βασιλεῖς πρὸς ἀλλήλους εἰρήνην ἔχοντες, καὶ τέρψεως χάριν προβλήματα τῶν σοφιστικῶν πρὸς ἀλλήλους γράφοντες ἔπεμπον· ἅπερ οἱ μὲν ἐπιλυόμενοι, φόρους ἐπὶ ῥητοῖς πρὸς τῶν πεμπόντων ἐλάμβανον, οἱ δὲ μή, τοὺς ἴσους παρεῖχον. Ὁ τοίνυν Αἴσωπος τὰ πεμπόμενα τῶν προβλημάτων Λυκήρῳ συνιὼν ἐπέλυε, καὶ εὐδοκιμεῖν ἐποίει τὸν βασιλέα· καὶ αὐτὸς δὲ διὰ Λυκήρου ἕτερα τοῖς βασιλεῦσιν ἀντέπεμπεν· ὧν ἀλύτων μενόντων, φόρους ὁ βασιλεὺς ὅτι πλείους εἰσέπραττεν. Αἴσωπος δὲ μὴ παιδοποιησάμενος, ἕνα τινὰ τῶν εὐγενῶν Ἔννον τὴν κλῆσιν εἰσεποιήσατό τε, καὶ ὡς γνήσιον παῖδα τῷ βασιλεῖ προσενέγκας, συνέστησε. Μετὰ δὲ οὐ πολὺν χρόνον τοῦ Ἔννου τῇ τοῦ θεμένου παλλακῇ συμφθαρέντος, Αἴσωπος τοῦτο γνοὺς, ἀπελαύνειν ἔμελλε τῆς οἰκίας. Ὁ δὲ τῇ κατ' ἐκείνου ὀργῇ ληφθεὶς, ἐπιστολήν τε πλασάμενος παρ' Αἰσώπου δῆθεν πρὸς τοὺς ἀντισοφιζομένους Λυκήρῳ, ὡς αὐτοῖς ἕτοιμός ἐστι προστίθεσθαι μᾶλλον, ἢ τῷ Λυκήρῳ, τῷ βασιλεῖ ἐνεχείρισε, τῷ τοῦ Αἰσώπου ταύτην σφραγισάμενος δακτυλίῳ. Ὁ δὲ βασιλεὺς τῇ τε σφραγῖδι πεισθεὶς, καὶ

SISMANOGLIO MEGARO



ἀπαραιτήτῳ ὀργῇ χρησάμενος, παραχρῆμα τῷ Ἑρμίππῳ κελεύει μηδὲν ἐξετάσαντα, οἷα δὴ προδότην διαχειρίσασθαι Αἴσωπον. Ὁ δὲ Ἕρμιππος φίλος τε ὢν τῷ Αἰσώπῳ, καὶ τότε δὴ τὸν φίλον ἐπέδειξεν· ἔν τινι γὰρ τῶν τάφων, μηδενὸς εἰδότος, κρύψας τὸν ἄνθρωπον, ἐν ἀπορρήτοις ἔτρεφεν. Ἔννος δὲ τοῦ βασιλέως κελεύσαντος, πᾶσαν τὴν διοίκησιν Αἰσώπου παρέλαβε.

Μετὰ δέ τινα χρόνον Νεκτεναβὼ βασιλεὺς Αἰγυπτίων, πυθόμενος Αἴσωπον τεθνηκέναι, πέμπει Λυκήρῳ παραχρῆμα ἐπιστολὴν, οἰκοδόμους αὐτῷ ἀποστεῖλαι κελεύουσαν, οἳ πύργον οἰκοδομήσουσι, μήτ' οὐρανοῦ, μήτε γῆς ἁπτόμενον, καὶ τὸν ἀποκρινούμενον ἀεὶ πρὸς πάνθ' ὅσα ἂν ἐρωτῶσι· καὶ τοῦτο ποιήσαντα, φόρους εἰσπράττειν, εἰ δὲ μή, κατατίθεσθαι. Ταῦτα τῷ Λυκήρῳ ἀναγνωσθέντα ἀθυμίαν ἐνέβαλε, μηδενὸς τῶν φίλων δυναμένου τὸ πρόβλημα τὸ περὶ τοῦ πύργου συνεῖναι. Ὁ μέντοι βασιλεὺς καὶ κίονα τῆς ἑαυτοῦ βασιλείας ἔλεγεν ἀπολωλεκέναι τὸν Αἴσωπον. Ἕρμιππος δὲ τὴν τοῦ βασιλέως δι' Αἴσωπον λύπην μαθὼν, προσῆλθέ τε τῷ βασιλεῖ, καὶ ζῆν ἐκεῖνον εὐηγγελίσατο, προσθεὶς αὐτοῦ δὴ χάριν αὐτὸν οὐκ ἀνελεῖν, εἰδὼς ὡς μελήσει ποτὲ τῷ βασιλεῖ τῆς ἀποφάσεως. Τοῦ δὲ βασιλέως διαφερόντως ἐπὶ τούτοις ἡσθέντος, Αἴσωπος ῥυπῶν καὶ αὐχμῶν ὅλος προσηνέχθη· καὶ τοῦ βασιλέως, ὡς εἶδεν αὐτὸν, δακρύσαντος, λούσασθαί τε, καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιωθῆναι κελεύσαντος. Αἴσωπος μετὰ τοῦτο καὶ ὑπὲρ ὧν κατηγορήθη τὰς αἰτίας ἀπεσκευάσατο, ἐφ' οἷς καὶ τοῦ βαιλέως τὸν Ἔννον ἀναιρεῖν μέλλοντος, Αἴσωπος αὐτῷ συγγνώμην ᾐτήσατο. Ἑπομένως δὲ τούτοις, ὁ βασιλεὺς τὴν τοῦ Αἰγυπτίου ἐπιστολὴν τῷ Αἰσώπῳ

ἐπί-

ἐπέδωκεν ἀναγνῶναι. Ὁ δ' αὐτίκα τὴν λύσιν συνεὶς τοῦ προβλήματος, ἐγέλασέ τε, καὶ ἀντιγράφειν ἐκέλευσεν, ὡς ἐπειδὰν χειμὼν παρέλθῃ, πεμφθῆναι τούς τε τὸν πύργον οἰκοδομήσοντας, καὶ τὸν ἀποκρινούμενον πρὸς τὰ ἐπερωτώμενα. Ὁ βασιλεὺς οὖν τοὺς μὲν Αἰγυπτίους πρέσβεις ἀπέστειλεν. Αἰσώπῳ δὲ τὴν ἐξ ἀρχῆς διοίκησιν ἐνεχείρισεν ἅπασαν, ἔκδοτον αὐτῷ παραδοὺς καὶ τὸν Ἔννον. Ὁ δὲ Αἴσωπος παραλαβὼν τὸν Ἔννον, οὐδὲν ἀηδὲς αὐτὸν ἔδρασεν, ἀλλ' ὡς υἱῷ πάλιν προσέχων, ἄλλους τε, καὶ τούτους ὑπετίθει τοὺς λόγους.

Τέκνον, πρὸ πάντων σέβου τὸ Θεῖον. Τὸν βασιλέα δὲ τίμα. Καὶ τοῖς μὲν ἐχθροῖς σου δεινὸν σεαυτὸν παρασκεύαζε, ἵνα μὴ καταφρονῶσί σου. Τοῖς δὲ φίλοις πρᾶον, καὶ εὐμετάδοτον, ὡς εὐνουστέροις σοι μᾶλλον γίνεσθαι. Ἔτι τοὺς μὲν ἐχθροὺς νοσεῖν εὔχου, καὶ πένεσθαι, ὡς μὴ οἵους τε εἶναι λυπεῖν σε. Τοὺς δὲ φίλους κατὰ πάντα εὖ πράττειν βούλου. Ἀεὶ τῇ γυναικί σου χρηστῶς ὁμίλει, ὅπως ἑτέρου ἀνδρὸς πεῖραν μὴ ζητήσῃ λαβεῖν· κοῦφον γὰρ τὸ τῶν γυναικῶν ἐστι φῦλον· καὶ κολακευόμενον ἔλαττον φρονεῖ κακά. Ὀξεῖαν μὴ πρὸς λόγον κτῆσαι τὴν ἀκοήν· τῆς δὲ γλώττης ἐγκρατὴς ἔσο. Τοῖς εὖ πράττουσι μὴ φθόνει, ἀλλὰ σύγχαιρε· φθονῶν γὰρ σεαυτὸν μᾶλλον βλάψεις. Τῶν οἰκετῶν σου ἐπιμελοῦ, ἵνα μὴ μόνον ὡς δεσπότην σε φοβῶνται, ἀλλὰ καὶ ὡς εὐεργέτην αἰδῶνται. Μὴ αἰσχύνου μανθάνειν ἀεὶ τὰ κρείττω. Τῇ γυναικὶ μηδέ ποτε πιστεύσῃς ἀπόρρητα, ἀεὶ γὰρ ὁπλίζεται, πῶς σου κυριεύσει. Καθ' ἡμέραν καὶ εἰς τὴν αὔριον ἀποταμιεύου· βέλτιον γὰρ τελευτῶντα ἐχθροῖς καταλεῖψαι, ἢ ζῶντα τῶν φίλων ἐπιδεῖσθαι. Εὐπρο-
ση-

SISMANOGLIO MEGARO



σήγορος ἔσο τοῖς συναντῶσιν, εἰδώς, καὶ τῷ κυναρίῳ ἄρτον ἡ οὐρὰ προσπορίζει. Ἀγαθὸς γενόμενος, μὴ μετανόει. Ψίθυρον ἄνδρα ἔκβαλε τῆς οἰκίας· τὰ γὰρ ὑπὸ σοῦ λεγόμενα, καὶ πραττόμενα ἑτέροις φέρων ἀναθήσει. Πρᾶττε μὴ τὰ λυπήσοντά σε. Ἐπὶ δὲ τοῖς συμβαίνουσι μὴ λυποῦ. Μήτε πονηρὰ βουλεύσῃ ποτέ, μήτε τρόπους κακῶν μιμήσῃ. Τούτοις τοῦ Αἰσώπου τὸν Ἔννον νουθετήσαντος, ἐκεῖνος τοῖς τε λόγοις, καὶ τῇ οἰκείᾳ συνειδήσει οἷά τινι βέλει πληγεὶς τὴν ψυχήν, μετ' οὐ πολλὰς ἡμέρας τὸν βίον μετήλλαξεν. Αἴσωπος δὲ τοὺς ἰξευτὰς πάντας προσκαλεσάμενος, ἀετῶν νεοττοὺς τέσσαρας συλληφθῆναι κελεύει. Συλληφθέντας οὖν οὕτως ἔθρεψεν, ὡς λέγεται, καὶ ἐπαίδευσεν, ὅπερ οὐ πάνυ τί με πειθόμενον ἔχει, ὡς παῖδας διὰ θυλάκων αὐτοῖς προσηρτημένων βαστάζοντας εἰς ὕψος αἴρεσθαι, καὶ οὕτως ὑπηκόους τοῖς παισὶν εἶναι, ὡς ὅπου περ ἂν ἐκεῖνοι βούλοιντο ἵπτασθαι, αὖτε εἰς ὕψος, αὖτε εἰς γῆν χαμᾶζε.

Τῆς δὲ χειμερινῆς ὥρας παραδραμούσης, καὶ ἦρος διαγελάσαντος, ἅπαντα τὰ πρὸς τὴν ὁδὸν συσκευασάμενος Αἴσωπος, καὶ τούς τε παῖδας λαβών, καὶ τοὺς ἀετούς, ἀπῆρεν εἰς Αἴγυπτον, πολλῇ φαντασίᾳ, καὶ δόξῃ πρὸς κατάπληξιν τῶν ἐκεῖ κεχρημένος. Νεκτεναβὼ δ' ἀκούσας παραγεγονέναι τὸν Αἴσωπον, ἐνηδρεύμαι, φησὶ τοῖς φίλοις, μεμαθηκὼς Αἴσωπον τεθνηκέναι. Τῇ δ' ἐπιούσῃ κελεύσας ὁ βασιλεὺς πάντας τοὺς ἐν τέλει λευκὰς περιβαλέσθαι στολάς, αὐτὸς ἐρέαν ἐνεδύσατο, καὶ διάδημα, καὶ διάλιθον κίταριν. Καὶ καθεσθεὶς ἐφ' ὑψηλοῦ δίφρου, καὶ τὸν Αἴσωπον εἰσαχθῆναι κελεύσας, τίνι με εἰκάζεις, εἰσελθόντι φησίν, Αἴσωπε, καὶ τοὺς σὺν ἐμοί;

μοί; Καὶ ὃς, σὲ μὲν ἡλίῳ ἐαρινῷ, τοὺς δὲ περὶ σὲ τούτους ὡραίοις στάχυσι. Καὶ ὁ βασιλεὺς θαυμάσας αὐτὸν, καὶ δώροις ἐδεξιώσατο. Τῇ δὲ μετ' ἐκείνην ἡμέρᾳ πάλιν ὁ μὲν βασιλεὺς λευκοτάτην ἐνσκευασάμενος, τοῖς δὲ φίλοις φοινικᾶς κελεύσας λαβεῖν, εἰσελθόντα τὸν Αἴσωπον τὴν προτέραν αὖθις πεῦσιν ἐπύθετο. Καὶ ὁ Αἴσωπος, σὲ μὲν, εἶπεν, εἰκάζω ἡλίῳ, τοὺς δὲ περὶ σὲ τούτους ἀκτῖσι. Καὶ ὁ Νεκτεναβὼ, οἶμαι μηδὲν εἶναι Λυκῆρον πρὸς τὴν ἐμὴν βασιλείαν. Καὶ ὁ Αἴσωπος μειδιάσας, μὴ εὐχερῶς οὕτω περὶ ἐκείνου λέγε, ὦ βασιλεῦ· πρὸς μὲν γὰρ τὸ ὑμέτερον ἔθνος ἡ ὑμῶν ἐπιδεικνυμένη βασιλεία δίκην ἡλίου σελαγεῖ· εἰ δὲ Λυκήρῳ παραβληθείη, οὐδὲν ἂν δέοι, μὴ τὸ φῶς τοῦτο ζόφον ἀποδειχθῆναι. Καὶ ὁ Νεκτεναβὼ τὴν τῶν λόγων εὐστοχίαν ἐκπλαγεὶς, ἤνεγκας ἡμῖν, ἔφη, τοὺς μέλλοντας τὸν πύργον οἰκοδομεῖν; Καὶ ὃς, ἕτοιμοί εἰσιν εἰ μόνον ὑποδείξεις τὸν τόπον. Μετὰ τοῦτο ἐξελθὼν ἔξω τῆς πόλεως ὁ βασιλεὺς ἐπὶ τὸ πεδίον, ὑπέδειξε διαμετρήσας τὸν χῶρον. Ἀγαγὼν τοίνυν Αἴσωπος ἐπὶ τὰς ὑποδειχθείσας τοῦ τόπου γωνίας τέτταρας, τοὺς τέτταρας τῶν ἀετῶν ἅμα τοῖς παισὶ διὰ τῶν θυλάκων ἀπηρτημένοις, καὶ οἰκοδόμων τοῖς παισὶ κατὰ χεῖρας δοὺς ἐργαλεῖα, ἐκέλευσεν ἀναπτῆναι. Οἱ δὲ πρὸς ὕψος γενόμενοι, δότε ἡμῖν, ἐφώνουν, λίθους, δότε κονίαν, δότε ξύλα, καὶ τἄλλα τῶν πρὸς οἰκοδομὴν ἐπιτηδείων. Ὁ δὲ Νεκτεναβὼ τοὺς παῖδας θεασάμενος ὑπὸ τῶν ἀετῶν εἰς ὕψος ἀναφερομένους, ἔφη· πόθεν ἐμοὶ πτηνοὶ ἄνθρωποι; Καὶ ὁ Αἴσωπος, ἀλλὰ Λυκῆρος ἔχει· σὺ δὲ θέλεις ἄνθρωπος ὢν ἰσοθέῳ ἐρίζειν βασιλεῖ; Καὶ ὁ Νεκτεναβὼ, Αἴσωπε, ἥτ-

τη-



τημαι· ἐρήσομαι δέ σε, σὺ δέ μοι ἀπόκριναι. Καί φησιν· εἰσί μοι θήλειαι ὧδε ἵπποι, αἵπερ ἐπειδὰν ἀκούσωσι τῶν ἐν Βαβυλῶνι ἵππων χρεμετιζόντων, εὐθὺς συλλαμβάνουσιν, εἴ σοι πρὸς τοῦτο πάρεστι σοφία, ἐπίδειξαι. Καὶ ὁ Αἴσωπος, ἀποκρινοῦμαί σοι αὔριον βασιλεῦ. Ἐλθὼν δὲ οὗ κατήγετο, αἴλουρον τοῖς παισὶν ἐκέλευσε συλλαβεῖν, καὶ συλληφθέντα δημοσίᾳ περιάγεσθαι μαστιζόμενον. Οἱ δὲ Αἰγύπτιοι τὸ ζῶον σεβόμενοι, οὕτω κακῶς πάσχον αὐτὸ θεασάμενοι, συνέδραμον, καὶ τὸν αἴλουρον τῆς χειρὸς τῶν μαστιγούντων ἐκσπάσαντες, ἀναγγέλλουσιν ὡς τάχος τῷ βασιλεῖ τὸ πάθος. Ὁ δὲ καλέσας τὸν Αἴσωπον, οὐκ ᾔδεις, φησὶν, Αἴσωπε, ὡς θεὸς σεβόμενος παρ' ἡμῖν ἐστιν αἴλουρος; ἵνα τί γοῦν τοῦτο πεποίηκας; Καὶ ὃς, Λυκῆρον τὸν βασιλέα ἠδίκησεν, ὦ βασιλεῦ, τῆς παρελθούσης νυκτὸς οὗτος ὁ αἴλουρος· ἀλεκτρυόνα γὰρ αὐτοῦ πεφόνευκε μάχιμον καὶ γενναῖον, προσέτι γε μὴν καὶ τὰς ὥρας αὐτῷ τῆς νυκτὸς σημαίνοντα. Καὶ ὁ βασιλεὺς, οὐκ αἰσχύνῃ ψευδόμενος, Αἴσωπε; πῶς γὰρ ἐν μιᾷ νυκτὶ αἴλουρος ἀπ' Αἰγύπτου ἦλθεν εἰς Βαβυλῶνα; Κἀκεῖνος μειδιάσας, φησί· καὶ πῶς ὦ βασιλεῦ, ἐν Βαβυλῶνι τῶν ἵππων χρεμετιζόντων, αἱ ἐνθάδε θήλειαι ἵπποι συλλαμβάνουσιν; Ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας, τὴν φρόνησιν αὐτοῦ ἐμακάρισε.

Μετὰ δὲ ταῦτα μεταπεμψάμενος ἀφ' Ἡλιουπόλεως ἄνδρας ζητημάτων σοφιστικῶν ἐπιστήμονας, καὶ περὶ τοῦ Αἰσώπου διαλεχθεὶς αὐτοῖς, ἐκάλεσεν ἅμα τῷ Αἰσώπῳ ἐπ' εὐωχίαν. Ἀνακλιθέντων οὖν αὐτῶν, τῶν Ἡλιουπολιτῶν τις φησὶ πρὸς τὸν Αἴσωπον· ἀπεστάλην παρὰ τοῦ Θεοῦ μου πεῦσίν τινα πυ-

θε-

θέθαί σου, ὡς ἂν αὐτὴν ἐπιλύσῃς. Καὶ ὁ Αἴσωπος, ψεύδῃ. Θεὸς γὰρ παρὰ ἀνθρώπου οὐδὲν δεῖται μαθεῖν· σὺ δ' οὐ μόνον σαυτοῦ κατηγορεῖς, ἀλλὰ καὶ τοῦ Θεοῦ σου. Ἕτερος πάλιν εἶπεν· ἔστι Ναὸς μέγας, καὶ ἐν αὐτῷ στύλος, δώδεκα πόλεις ἔχων, ὧν ἑκάστη τριάκοντα δοκοῖς ἐστέγασται, τούτους δὲ περιΐασι δύο γυναῖκες. Καὶ ὁ Αἴσωπος ἔφη, τοῦτο τὸ πρόβλημα καὶ οἱ παρ' ἡμῖν ἐπιλύσονται παῖδες. Ναὸς μὲν γάρ ἐστιν οὗτος ὁ Κόσμος, στύλος δ' ὁ ἐνιαυτὸς, αἱ δὲ πόλεις οἱ μῆνες, καὶ δοκοὶ αἱ τούτων ἡμέραι, ἡμέρα δὲ, καὶ νὺξ, αἱ δύο γυναῖκες, αἳ παραλλὰξ ἀλλήλας δέχονται. Τῇ δὲ ἐφεξῆς ἡμέρᾳ συγκαλέσας τοὺς φίλους ἅπαντας ὁ Νεκτεναβὼ, φησί· διὰ τὸν Αἴσωπον τοῦτον ὀφλήσομεν φόρους τῷ βασιλεῖ Λυκήρῳ. Εἷς δέ τις αὐτῶν εἶπε· κελεύσομεν αὐτῷ προβλήματα φράσαι ἡμῖν, περὶ ὧν οὔτ' εἴδαμεν, οὔτ' ἠκούσαμεν. Καὶ ὃς, αὔριον ἐπὶ τούτου ὑμῖν ἀποκρινοῦμαι. Ἀπελθὼν οὖν, καὶ συνταξάμενος γραμματεῖον, ἐν ᾧ περιείχετο, Νεκτεναβὼ ὁμολογῶν χίλια τάλαντα τῷ Λυκήρῳ ὀφείλειν, πρωΐας ἐπανελθὼν, τῷ βασιλεῖ τὸ γραμματεῖον ἐπέδωκεν. Οἱ δὲ τοῦ βασιλέως φίλοι, πρὶν ἀνοιχθῆναι τὸ γραμματεῖον, πάντες ἔλεγον, καὶ εἴδομεν τοῦτο, καὶ ἠκούσαμεν, καὶ ἀληθῶς ἐπιστάμεθα. Καὶ ὁ Αἴσωπος, χάριν ὑμῖν οἶδα τῆς ἀποδόσεως ἕνεκεν. Ὁ δὲ Νεκτεναβὼ τὴν ὁμολογίαν τῆς ὀφειλῆς ἀναγνοὺς, εἶπεν· ἐμοῦ Λυκήρῳ μηδὲν ὀφείλοντος, πάντες ὑμεῖς μαρτυρεῖτε. Κἀκεῖνοι μεταβαλόντες, εἶπον, οὔτ' εἴδομεν, οὔτ' ἠκούσαμεν. Καὶ ὁ Αἴσωπος· καὶ εἰ ταῦθ' οὕτως ἔχει, λέλυται τὸ αἰτούμενον. Καὶ ὁ Νεκτεναβὼ πρὸς ταῦτα· μακάριός ἐστι Λυκῆρος

τοιαύ-



τοιαύτην σοφίαν ἐν τῇ βασιλείᾳ ἑαυτοῦ κεκτημένος. Τοὺς οὖν συμφωνηθέντας φόρους παραδοὺς τῷ Αἰσώπῳ, ἐν εἰρήνῃ ἀπέστειλεν. Αἴσωπος δ' εἰς Βαβυλῶνα παραγενόμενος, διεξῆλθέ τε Λυκήρῳ τὰ ἐν Αἰγύπτῳ πραχθέντα πάντα, καὶ τοὺς φόρους ἀπέδωκε. Λυκῆρος δ' ἐκέλευσεν ἀνδριάντα χρυσοῦν τῷ Αἰσώπῳ ἀνατεθῆναι.

Μετὰ δ' οὐ πολὺν χρόνον, Αἴσωπος εἰς Ἑλλάδα ἐβουλεύσατο πλεῦσαι. Καὶ δὴ τῷ βασιλεῖ συνταξάμενος, ἀπεδήμησεν, ὅρκον δοὺς αὐτῷ πρότερον, ἦ μὴν ἐπανήξειν εἰς Βαβυλῶνα, κἀκεῖ τοῦ λοιποῦ διαβιώσειν. Περιϊὼν δὲ τὰς Ἑλληνίδας πόλεις, καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδεικνύμενος, ἦλθε καὶ εἰς Δελφούς. Οἱ δὲ Δελφοὶ διαλεγομένου μὲν ἠκροῶντο ἡδέως, τιμῆς, δὲ καὶ θεραπείας εἰς αὐτὸν ἔδρασαν οὐδοτιοῦν. Ὁ δὲ πρὸς αὐτοὺς ὑπολαβὼν ἔφη· Ἄνδρες Δελφοὶ, ἔπεισί μοι ξύλῳ ὑμᾶς εἰκάζειν τῷ ἐν θαλάττῃ φερομένῳ· κἀκεῖνο γὰρ ὁρῶντες ἐκ πολλοῦ διαστήματος ὑπὸ κυμάτων φερόμενον, πολλοῦ τινος ἄξιον εἶναι οἰόμεθα· ἐπειδὰν δ' ἐγγυτάτω προσέλθῃ, εὐτελέστατον φαίνεται. Κἀγὼ γοῦν πόῤῥωθεν τῆς ὑμῶν πόλεως ὢν, ὥς τινας τῶν ἀξίων λόγου ὑμᾶς ἐθαύμαζον· νυνὶ δ' ἐλθὼν ὡς ὑμᾶς, πάντων, ὡς εἰπεῖν, ἀνθρώπων εὗρον ἀχρειοτέρους· οὕτω πεπλάνημαι. Ταῦτα ἀκούσαντες οἱ Δελφοὶ, καὶ δείσαντες, μήπως Αἴσωπος καὶ πρὸς τὰς ἄλλας πόλεις βαδίζων, κακῶς αὐτοὺς λέγῃ, βουλὴν ἐβουλεύσαντο, δόλῳ τὸν ἄνθρωπον ἀνελεῖν. Καὶ δῆτα χρυσῆν φιάλην ἐκ τοῦ παρ' αὐτοῖς ἱεροῦ τοῦ Ἀπόλλωνος ἀνελόμενοι, λάθρα τοῖς Αἰσώπου κατέκρυψαν στρώμασι. Τοῦ δ' Αἰσώπου τὰ ὑπ' αὐτῶν ἀγνοοῦντος σκαιωρηθέντα, ἐξελθὼν ἐπορεύετο

πρὸς

πρὸς Φωκίδα. Οἱ Δελφοὶ δ᾽ ἐπιδραμόντες, καὶ καταλαβόντες αὐτὸν, ἀνέκρινον ὡς ἱεροσυληκότα. Τοῦ δ᾽ ἀρνουμένου μηδὲν πεπραχθέναι τοιοῦτον, ἐκεῖνοι πρὸς βίαν τὰ στρώματα ἀναπτύξαντες, τὴν χρυσῆν εὗρον φιάλην· ἣν καὶ ἀναλαβόντες, τοῖς ἐν τῇ πόλει πᾶσιν ἐπεδείκνυσαν οὐ σὺν ὀλίγῳ θορύβῳ. Ὁ μὲν οὖν Αἴσωπος τὴν ἐκείνων συννοήσας ἐπιβουλὴν, ἐδεῖτο αὐτῶν ἀπολυθῆναι. Οἱ δὲ οὐ μόνον οὐκ ἀπέλυσαν, ἀλλ᾽ ὡς ἱεροσυλήσαντα καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλον, θάνατον αὐτοῦ καταψηφισάμενοι. Αἴσωπος δὲ μηδεμιᾷ μηχανῇ τῆς πονηρᾶς τῆς δὲ τύχης σωθῆναι δυνάμενος, ἑαυτὸν ἐπὶ τῆς εἱρκτῆς ἐθρήνει καθήμενος. Τῶν συνήθων δέ τις αὐτῷ, Δαμᾶς τοὔνομα, πρὸς αὐτὸν εἰσελθὼν, καὶ ἰδὼν οὕτως ὀλοφυρόμενον, τὴν αἰτίαν τοῦ πάθους ἤρετο. Καὶ ὅς ἔφη· Γυνή τις προσφάτως τὸν ἑαυτῆς ἄνδρα θάψασα, καθ᾽ ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνημεῖον, ἐθρήνει. Ἀροτριῶν δέ τις οὐ πόῤῥω τοῦ μνήματος, εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικὸς, καὶ καταλιπὼν τοὺς βόας, ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα, καὶ καθίσας, συνεθρήνει τῇ γυναικί. Τῆς δὲ πυθομένης, τί δήποτε καὶ αὐτὸς οὕτως ὀδύρεται; ὅτι κἀγώ φησιν εὐπρεπῆ γυναῖκα κατώρυξα, καὶ ἐπειδὰν κλαύσω, τῆς λύπης κουφίζομαι. Ἡ δέ, κἀμοὶ τοῦτ᾽ αὐτὸ προσγίνεται. Κἀκεῖνος, εἰ τοίνυν τοῖς αὐτοῖς περιπεπτώκαμεν πάθεσι, τί δή ποτε ἀλλήλοις μὴ συνεῖμεν; ἐγώ τε γὰρ φιλήσω σε ὡς ἐκείνην, κἀμὲ σὺ πάλιν ὡς τὸν σεαυτῆς ἄνδρα. Ταῦτα ἔπεισε τὴν γυναῖκα, καὶ δὴ συνῆλθον. Ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν, καὶ τοὺς βόας λύσας, ἀπήλασεν. Ὁ δ᾽ ἐπανελθὼν, καὶ τοὺς βόας μὴ εὑρηκὼς, κόπτεσθαί τε, καὶ οἰμώζειν ἰσχυρῶς ἐνε-



ἐνεστήσατο. Ἐλθοῦσα δὲ καὶ ἡ γυνὴ, καὶ ὀλοφυρόμενον εὑροῦσα, φησί· πάλιν κλαίεις; Κἀκεῖνος νῦν, εἶπεν, ἐπ᾽ ἀληθείας κλαίω. Κἀγὼ γοῦν πολλοὺς διαδρὰς κινδύνους, νῦν τῷ ὄντι θρηνῶ, λύσιν τοῦ κακοῦ μηδαμόθεν εὑρίσκων.

Μετὰ ταῦτα παρῆσαν καὶ οἱ Δελφοὶ, καὶ ἐκβαλόντες αὐτὸν τῆς εἱρκτῆς, εἷλκον βιαίως ἐπὶ τοῦ κρημνοῦ. Ὁ δὲ πρὸς αὐτοὺς ἔλεγεν· ὅτε ἦν ὁμόφωνα τὰ ζῶα, μῦς βατράχῳ φιλιωθεὶς, εἰς δεῖπνον αὐτὸν ἐκάλεσε· καὶ ἀπαγαγὼν εἰς ταμεῖον πλουσίου, ἔνθα πλεῖστα τῶν ἐδωδίμων ἦν, ἔσθιε, φησὶ, φίλε βάτραχε. Μετὰ δὲ τὴν ἑστίασιν καὶ ὁ βάτραχος τὸν μῦν ἐπὶ τὴν οἰκείαν ἐκάλεσε δίαιταν· ἀλλ᾽ ἵνα μὴ ἀποκάμῃς, φησὶ, νηχόμενος, μηρίνθῳ λεπτῇ τὸν σὸν πόδα τῷ ἐμαυτοῦ προσαρτήσω· καὶ τοῦτο πράξας, ἥλατο εἰς τὴν λίμνην. Αὐτοῦ δὲ καταδύοντος εἰς βάθος, ὁ μῦς ἀπεπνίγετο, καὶ θνήσκων εἶπεν· ἐγὼ μὲν ὑπὸ σοῦ θνήσκω, ἐκδικηθήσομαι δὲ ὑπὸ μείζονος. Ἐπιπλέοντος οὖν τοῦ μυὸς ἐν τῇ λίμνῃ νεκροῦ, καταπτὰς ἀετὸς, τοῦτον ἀφήρπασε, σὺν αὐτῷ δὲ προσηρτημένον ὁμοῦ καὶ τὸν βάτραχον, καὶ οὕτως ἄμφω κατεθοινήσατο. Κἀγὼ τοίνυν, βίᾳ πρὸς ὑμῶν ἀποθνήσκων, ἕξω τὸν ἀμυνοῦντα. Βαβυλὼν γὰρ, καὶ Ἑλλὰς πᾶσα τὸν ἐμὸν παρ᾽ ὑμῶν ἀπαιτήσουσι θάνατον. Οἱ μὲν οὖν Δελφοὶ οὐδ᾽ ὡς ἐφείδοντο τοῦ Αἰσώπου. Ὁ δ᾽ ἐπὶ τὸ τοῦ Ἀπόλλωνος κατέφυγεν ἱερόν· οἱ δὲ κἀκεῖθεν ἀποσπάσαντες μετ᾽ ὀργῆς, ἐπὶ τὸν κρημνὸν αὖθις εἷλκον. Ὁ δ᾽ ἀπαγόμενος ἔλεγεν· ἀκούσατέ μου Δελφοί. Λαγωὸς ὑπ᾽ ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ᾽ αὐτοῦ σωθῆναι. Ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν, μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐ-

αὐτὸν κατὰ τῶ μεγίσου Διός, ἢ μίω μὴ καταφρο-
νῆσαι τῆς μικρότητος αὐτοῦ. Ὁ δὲ μετ' ὀργῆς τῇ
πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἀρ-
πάσας κατέφαγεν. Ὁ δὲ κάνθαρος τῷ τε ἀετῷ
συναπέπτη ὡς τὴν καλιὰν τούτου καταμαθεῖν· καὶ
δὴ προσελθὼν, τὰ ὠὰ τούτου κατακυλίσας διέφ-
θειρε. Τοῦ δὲ δεινὸν ποιησαμένου, εἴτις τοῦτο τολ-
μήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοτ-
τοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα
τοῦτον διέθηκεν. Ὁ δ' ἀετὸς ἀμηχανήσας τοῖς ὅ-
λοις, ἀναβὰς ἐπὶ τὸν Δία (τούτου γὰρ ἱερὸς εἶ-
ναι λέγεται) τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν
τῶν ὠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ
ἱκετεύσας φυλάττειν. Ὁ κάνθαρος δὲ κόπρου σφαῖ-
ραν ποιήσας, καὶ ἀναβὰς, ἐπὶ τοῦ κόλπου τοῦ Διὸς
ταύτην καθῆκεν. Ὁ δὲ Ζεὺς ἀνασὰς, ἐφ' ᾧ τὴν
ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ὠὰ διέρριψεν ἐκλα-
θόμενος, ἃ καὶ συνετρίβη πεσόντα. Μαθὼν δὲ
πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀ-
μυνόμενος· οὐ γὰρ δὴ τὸν κάνθαρον ἐκεῖνος μό-
νον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν Δία αὐτὸν ἠσέβη-
σε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα· κάνθαρον εἶ-
ναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. Μὴ
βουλόμενος οὖν τὸ γένος τὸ τῶν ἀετῶν σπανισθῆναι,
συνεβούλευε τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀε-
τὸν θέσθαι. Τοῦ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς
καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τοκετὸν, ἵνί-
κα ἂν μὴ φαίνωνται κάνθαροι. Καὶ ὑμεῖς οὖν, ὦ
ἄνδρες Δελφοὶ, μὴ ἀτιμάσητε τοῦτον δὴ τὸν Θεὸν,
εἰς ὃν κατέφυγον, εἰ καὶ μικροῦ τετύχηκεν ἱεροῦ,
οὐδὲ γὰρ ἀσεβεῖς περιόψεται. Οἱ δὲ Δελφοὶ τού-
των ὀλίγα φροντίζοντες, τὴν ἐπὶ τὸν θάνατον ὁ-
μοίως



μοίως ἦγον. Αἴσωπος δὲ μηδενὶ τῶν ὑπ' αὐτοῦ λεγομένων ὁρῶν καμπτομένους, πάλιν φησίν· Ἄνδρες ἀνήμεροι, καὶ φονῶντες ἀκούσατε. Γεωργός τις ἐπ' ἀγροῦ γεγηρακὼς, ἐπεὶ μηδέποτε εἰσῆλθεν εἰς ἄσυ, παρεκάλει τοὺς οἰκείους τοῦτο θεάσασθαι. Οἱ δὲ ζεύξαντες ὀνάρια, καὶ ἐπὶ τῆς ἀπήνης αὐτὸν ἀναβιβασάμενοι, μόνον ἐκέλευσαν ἐλαύνειν. Ὁδεύοντι δὲ, χειμῶνος, καὶ θυέλλης τὸν ἀέρα καταλαβόντων, καὶ ζόφου γενομένου, τὰ ὀνάρια τῆς ὁδοῦ πλανηθέντα, εἴς τινα κρημνὸν ἐξετόπισαν τὸν πρεσβύτην. Ὁ δὲ μέλλων ἤδη κατακρημνίζεσθαι, ὦ Ζεῦ, εἶπε, τί ποτέ σε ἠδίκησα, ὅτι οὕτω παρὰ λόγον ἀπόλλυμαι, καὶ ταῦτα οὔθ' [illegible] ἵππων γενναίων, οὔθ' ἡμιόνων ἀγαθῶν, ἀλλ' ὀναρίων εὐτελεστάτων. Κἀγὼ τοίνυν ἐπὶ τοῖς ἴσοις νῦν δυσχεραίνω, ὅτι μὴ ὑπ' ἐντίμων ἀνδρῶν, ἢ ἐλλογίμων, ἀλλ' ὑπ' ἀχρείων, καὶ κακίσων ἀπόλλυμαι. Μέλλων δὲ ἤδη κατὰ τοῦ κρημνοῦ ἀφίεσθαι, τοιοῦτον εἴρηκε πάλιν μῦθον. Ἀνήρ τις τῆς οἰκείας ἐρασθεὶς θυγατρὸς, εἰς ἀγρὸν ἀπέσειλε τὴν γυναῖκα, μόνην δὲ τὴν θυγατέρα ἀπολαβὼν, ἐβιάζετο. Ἡ δὲ, πάτερ, εἶπεν, ἀνόσια πράττεις· ηὐχόμην μέν τοι ὑπὸ πολλῶν ἀνδρῶν αἰσχυνθῆναι, ἢ ὑπὸ σοῦ τοῦ γ[illegible]μένου. Τοῦτο τοίνυν καὶ ἐφ' ὑμῶν, ὦ παράνομοι Δελφοὶ, λέγω, ὡς ᾑρούμην Σκύλλῃ, καὶ Χάρυβδι περιπεσεῖν, καὶ ταῖς ἐν Ἀφρικῇ Σύρτεσιν, ἢ παρ' ὑμῶν ἀδίκως, καὶ ἀναξίως ἀποθανεῖν. Καταρῶμαι οὖν ὑμῶν τῇ πατρίδι, καὶ θεοῖς μαρτύρομαι, ὡς ἔξω πάσης δίκης ἀπόλλυμαι, οἵ μοι τιμωρήσουσιν εἰσακούσαντες. Ἔρριψαν μὲν οὖν αὐτὸν οἱ Δελφοὶ κατὰ τοῦ κρημνοῦ, καὶ ἀπέθανεν. Οὐ πολλῷ δ' ὕστερον λοιμῷ συσχεθέντες,

χρησμὸν ἔλαβον, ἐξιλάσκεσθαι τὸν Αἰσώπου θάνατον· ᾧ καὶ ὡς συνειδότες ἑαυτοῖς ἀδίκως φονευθέντι, καὶ στήλην ἀνέστησαν. Οἱ δ' ἐν τῇ Ἑλλάδι πρωτεύοντες, καὶ ὅσοι τῶν σοφωτέρων, καὶ αὐτοὶ τὰ εἰς Αἴσωπον πεπραγμένα μαθόντες, εἴς τε Δελφοὺς παρεγένοντο, καὶ σὺν ἐκείνοις σκεψάμενοι, τιμωροὶ καὶ αὐτοὶ τῷ Αἰσώπου θανάτῳ γεγόνασιν.

ΤΕΛΟΣ ΤΟΥ ΑΙΣΩΠΟΥ ΒΙΟΥ.





# ΑΙΣΩΠΟΥ
# ΜΥΘΟΙ.

## ΑΕΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ἀετὸς, καὶ Ἀλώπηξ φιλιωθέντες, πλησίον ἀλλήλων οἰκεῖν ἔγνωσαν, βεβαίωσιν φιλίας ποιούμενοι τὴν συνήθειαν. Ὁ μὲν οὖν ἐφ' ὑψηλοῦ δένδρου τὴν καλιὰν ἐπήξατο, ἡ δ' Ἀλώπηξ ἐν τοῖς ἔγγιστα θάμνοις ἐτεκνοποιήσατο. Ἐπὶ νομὴν οὖν ποτε τῆς Ἀλώπεκος προελθούσης, ὁ Ἀετὸς τροφῆς ἀπορῶν, καταπτὰς ἐπὶ τῶν θάμνων, καὶ τὰ τέκνα ταύτης ἀναρπάσας, ἅμα τοῖς αὐτοῦ νεοττοῖς ἐθοινήσατο. Ἡ δ' Ἀλώπηξ ἐπανελθοῦσα, καὶ τὸ πραχθὲν μαθοῦσα, οὐ τοσοῦτον ἐπὶ τῷ τῶν τέκνων ἠνιάθη θανάτῳ, ὅσον ἐπὶ τῷ τῆς ἀμύνης ἀπόρῳ· χερσαία γὰρ οὖσα, πτηνὸν διώκειν οὐχ οἵα τε ἦν. Διὸ καὶ πόῤῥωθεν στᾶσα, τοῦθ' ὃ καὶ τοῖς ἀδυνάτοις ἐστὶν εὔπορον, τῷ ἐχθρῷ κατηρᾶτο. Οὐ πολλῷ δ' ὕστερον, αἶγά τινων ἐπ' ἀγροῦ θυόντων, καταπτὰς ὁ Ἀετὸς, μέρος τι τῶν θυμάτων σὺν ἐμπύροις ἄνθραξιν ἥρπασε, κἀπὶ τὴν νεοττιὰν ἤγαγεν. Ἀνέμου δὲ σφοδροῦ πνεύσαντος τηνικαῦτα, καὶ φλογὸς ἀναδοθείσης, οἱ Ἀετιδεῖς, ἀπτῆνες ἔτι τυγχάνοντες, ὀπτηθέντες, εἰς γῆν κατέπεσον. Ἡ δὲ Ἀλώπηξ ἐπιδραμοῦσα, ἐν ὄψει τοῦ Ἀετοῦ πάντας κατέφαγεν.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων φύγωσι τιμωρίαν δι' ἀσθένειαν, ἀλλὰ τήν γε θείαν δίκην οὐ διακρούσονται.

## ΑΕΤΟΣ ΚΑΙ ΚΑΝΘΑΡΟΣ.

Λαγωὸς ὑπ' Ἀετοῦ διωκόμενος, πρὸς κοίτην Κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. Ὁ δὲ Κάνθαρος ἠξίου τὸν Ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐτὸν κατὰ τοῦ μεγίστου Διός, ἢ μὴν μὴ καταφρονῆσαι τῆς μικρότητος αὐτοῦ. Ὁ δὲ μετ' ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν Κάνθαρον, τὸν Λαγωὸν ἁρπάσας κατέφαγεν. Ὁ δὲ Κάνθαρος τῷ τε Ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμαθεῖν· καὶ δὴ προσελθὼν, τὰ ὠὰ τούτου κατακυλίσας διέφθειρε. Τοῦ δὲ δεινὸν ποιησαμένου, εἴτις τοῦτο τολμήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου κἀκεῖ πάλιν ὁ Κάνθαρος τὰ ἴσα τούτον διέθηκεν. Ὁ δ' Ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν Δία (τούτου γὰρ ἱερὸς εἶναι λέγεται) τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ὠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. Ὁ Κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβὰς, ἐπὶ τοῦ κόλπου τοῦ Διὸς ταύτην καθῆκεν. Ὁ δὲ Ζεὺς ἀναστὰς, ἐφ' ᾧ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ὠὰ διέρριψεν ἐκλαθόμενος, ἃ καὶ συνετρίβη πεσόντα. Μαθὼν δὲ πρὸς τοῦ Κανθάρου, ὅτι ταῦτ' ἔδρασε, τὸν Ἀετὸν ἀμυνόμενος· οὐ γὰρ μὴ τὸν Κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν Δία αὐτὸν ἠσέβησε· πρὸς τὸν Ἀετὸν εἶπεν ἐλθόντα, Κάνθαρον εἶναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. Μὴ βουλόμενος οὖν τὸ γένος τὸ τῶν Ἀετῶν σπανισθῆναι, συνεβούλευε τῷ Κανθάρῳ διαλλαγὰς πρὸς τὸν Ἀετὸν θέσθαι. Τοῦ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν Ἀετῶν μετέθηκε τοκετὸν, ἡνίκα ἂν μὴ φαίνωνται Κάνθαροι.



Ὁ Μῦθος δηλοῖ, μηδενὸς καταφρονεῖν, λογιζομένους, ὡς οὐδείς ἐστιν, ὃς προπηλακισθεὶς, οὐκ ἂν δυνηθείη ἑαυτῷ ἐπαμῦναι.

## ΑΗΔΩΝ ΚΑΙ ΙΕΡΑΞ.

Ἀηδὼν ἐπὶ δένδρου καθεζομένη, κατὰ τὸ εἰωθὸς ᾖδεν. Ἱέραξ δὲ θεασάμενος, καὶ τροφῆς ἀπορῶν, συνείληφεν ἐπιπτάς. Ἡ δ' ἀναιρεῖσθαι μέλλουσα, ἐδεῖτο τοῦ Ἱέρακος μὴ βρωθῆναι· μὴ δὲ γὰρ ἱκανὴν εἶναι Ἱέρακος γαστέρα πληροῦν. Δεῖν δὲ αὐτὸν τροφῆς προσδεόμενον ἐπὶ τὰ μείζω τῶν ὀρνέων τραπέσθαι. Καὶ ὁ Ἱέραξ ὑπολαβὼν, εἶπεν· ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν ἀφεὶς, τὰ μὴ φαινόμενά πω διώκοιμι.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οὕτως ἀλόγιστοί εἰσιν, οἳ δι' ἐλπίδα πλειόνων ἀδήλων, τὰ ἐν χερσὶ προϊέμενοι.

## ΑΛΩΠΗΞ ΚΑΙ ΤΡΑΓΟΣ.

Ἀλώπηξ, καὶ Τράγος διψῶντες εἰς φρέαρ κατέβησαν. Μετὰ δὲ τὸ πιεῖν, τοῦ Τράγου σκεπτομένου τὴν ἄνοδον, ἡ Ἀλώπηξ ἔφη· θάρσει, χρήσιμόν τι καὶ εἰς τὴν ἀμφοτέρων σωτηρίαν ἐπινενόηκα. Εἰ γὰρ ὄρθιος σταθεὶς, τοὺς ἐμπροσθίους τῶν ποδῶν τῷ τοίχῳ προσερείσεις, καὶ τὰ κέρατα ὁμοίως εἰς τοὔμπροσθεν κλινεῖς, ἀναδραμοῦσα διὰ τῶν σῶν αὐτὴ νώ-

νώτων, καὶ κεράτων, καὶ ἔξω τοῦ φρέατος ἐκεῖθεν πηδήσασα, καὶ σὲ μετὰ τοῦτο ἀνασπάσω ἐντεῦθεν. Τοῦ δὲ Τράγου πρὸς τοῦτο ἑτοίμως ὑπηρετησαμένου, ἐκείνη τοῦ φρέατος οὕτως ἐκπηδήσασα ἐσκίρτα περὶ τὸ στόμιον ἡδομένη. Ὁ δὲ Τράγος αὐτὴν ἐμέμφετο, ὡς παραβαίνουσαν τὰς συνθήκας. Ἡ δὲ, ἀλλ' εἰ τοσαύτας, εἶπε, φρένας ἐκέκτησο, ὁπόσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον ἂν κατέβης, πρὶν ἢ τὴν ἄνοδον σκέψασθαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνδρα δεῖ πρότερον τὰ τέλη σκοποῦντα τῶν πραγμάτων, εἶθ' οὕτως αὐτοῖς ἐγχειρεῖν.

## ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ.

Ἀλώπηξ μήπω θεασαμένη Λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτω ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. Ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάῤῥησεν, ὡς καὶ προσελθοῦσα διαλεχθῆναι.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

## ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.

Αἴλουρος συλλαβὼν Ἀλεκτρυόνα, μετ' εὐλόγου τοῦτον αἰτίας ἠβουλήθη καταφαγεῖν. Καὶ δὴ κατηγόρει αὐτοῦ, λέγων, ὡς ὀχληρὸς εἴη τοῖς ἀνθρώποις νύκτωρ κεκραγὼς, καὶ μὴ συγχωρῶν ὕπνου τυγχάνειν. Τοῦ δ' ἀπολογουμένου, ἐπὶ τῇ ἐκείνων ὠφε-

λείᾳ



λείᾳ τοῦτο ποιεῖν, ὡς ἐπὶ τὰ συνήθη τῶν ἔργων ἐγείρεσθαι· πάλιν ὁ Αἴλουρος αἰτίαν ἐπέφερεν, ὡς ἀσεβὴς εἴη περὶ τὴν φύσιν, μητρὶ, καὶ ἀδελφαῖς συμμιγνύμενος. Τοῦ δὲ καὶ τοῦτο πρὸς ὠφέλειαν τῶν δεσποτῶν πράττειν, φήσαντος, πολλῶν αὐτοῖς ἐντεῦθεν ὠῶν τικτομένων· ὁ Αἴλουρος εἰπὼν, ἀλλ' εἰ σύγε πολλῶν εὐπορεῖς εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μενῶ, τοῦτον κατεθοινήσατο.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν αἱρουμένη, εἰ μὴ μετ' εὐλόγου δυνηθείη προσχήματος, ἀπαρακαλύπτως γε μὴν πονηρεύεται.

## ΑΛΩΠΕΚΕΣ.

Ἀλώπηξ ἐν παγίδι ληφθεῖσα, καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ' αἰσχύνης ἡγεῖτο τὸν βίον. Ἔγνω οὖν καὶ τὰς ἄλλας Ἀλώπεκας τοῦτ' αὐτὸ νουθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος. Καὶ δὴ πάσας ἀθροίσασα, παρῄνει τὰς οὐρὰς ἀποκόπτειν, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὂν, ἀλλὰ καὶ περιττὸν βάρος προσηρτημένον. Ὑπολαβοῦσα δέ τις αὐτῶν, εἶπεν· ὦ αὕτη, ἀλλ' εἰ οὐ σοὶ τοῦτο προσέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων οὐ δι' εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, διὰ δὲ τὸ αὐτοῖς συμφέρον.

## ΑΛΩΠΗΞ ΚΑΙ ΒΑΤΟΣ.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθήσασα καταπίπτειν ἔμελλεν, ἐπελάβετο πρὸς βοή-



θειαν

SISMANOGLIO

θειαν Βάτου. Καὶ δὴ τοὺς πόδας ἐπὶ τοῖς ἐκείνης κέντροις αἱμάξασα, καὶ ἀλγήσασα, πρὸς αὐτὴν εἶπεν· οἴμοι! καταφυγοῦσάν με γὰρ ἐπὶ σὲ ὡς ἐπὶ βοηθὸν, σὺ χεῖρον διέθηκας. Ἀλλ' ἔσφαλης, ὦ αὕτη, φησὶν ἡ Βάτος, ἐμοῦ βουληθεῖσα ἐπιλαβέσθαι, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοι, ὅσοι βοηθοῖς προστρέχουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

## ΑΛΩΠΗΞ ΚΑΙ ΚΡΟΚΟΔΕΙΛΟΣ.

Ἀλώπηξ, καὶ Κροκόδειλος ἠμφισβήτουν περὶ εὐγενείας. Πολλὰ δὲ τοῦ Κροκοδείλου ὑπερήφανα περὶ τῆς τῶν προγόνων διεξιόντος λαμπρότητος, ὡς γεγυμνασιαρχηκότων· ἡ Ἀλώπηξ ὑπολαβοῦσα, ὦ τᾶν εἶπεν, ἀλλὰ κἂν μὴ σὺ λέγῃς, ἀλλ' ἀπὸ τοῦ δέρματός γε φαίνῃ, ὡς ἐκ παλαιῶν ἐτῶν εἶ γεγυμνασμένος.

Ὁ Μῦθος δηλοῖ, ὅτι τῶν ψευδομένων ἀνδρῶν ἔλεγχος τὰ πράγματα γίνεται.

## ΑΛΕΚΤΡΥΟΝΕΣ ΚΑΙ ΠΕΡΔΙΞ.

Ἀλεκτρυόνας τις ἔχων ἐπὶ τῆς οἰκίας, πριάμενος καὶ Πέρδικα, σὺν ἐκείνοις ἀφῆκε νέμεσθαι. Τῶν δὲ τυπτόντων αὐτὸν, καὶ ἀπελαυνόντων, ἐκεῖνος ἠθύμει σφόδρα, νομίζων ὡς ἀλλόφυλος ταῦτα πάσχειν ὑπὸ τῶν Ἀλεκτρυόνων. Ὡς δὲ μετὰ μικρὸν κἀκείνους ἑώρακε μαχομένους, καὶ ἀλλήλους κόπτοντας, τῆς λύπης ἀπολυθεὶς, εἶπεν· ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυπήσομαι, ὁρῶν καὶ αὐτοὺς μαχομένους ἀλλήλοις.

Ὁ



Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι ῥαδίως φέρουσι τὰς παρὰ τῶν ἀλλοτρίων ὕβρεις, ὅταν αὐτοὺς ἴδωσι μηδὲ τῶν οἰκείων ἀπεχομένους.

## ΑΛΩΠΗΞ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη· ὦ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ὁ Μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

## ΑΝΘΡΑΚΕΥΣ ΚΑΙ ΚΝΑΦΕΥΣ.

Ἀνθρακεὺς ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ Κναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. Ὁ δὲ Κναφεὺς ὑπολαβὼν ἔφη· ἀλλ' οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι· δέδια γὰρ, μήπως ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

Ὁ Μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

## ΑΛΙΕΙΣ.

Ἁλιεῖς εἷλκον σαγήνην· βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον, καὶ ἐσκίρτων, πολλὴν εἶναι τὴν ἄγραν νομίζοντες. Ὡς δ' ἐπὶ τῆς ἠϊόνος ταύτην ἑλκύσαντες τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ' ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο, καὶ ἀλύειν, οὐ τοσοῦτον ἐπὶ τῇ ἰχθύων ὀλιγότητι,

ὅσον

SISMANOGLIO

ὅσον ὅτι καὶ τἀναντία προϋπειλήφασιν. Εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε· μὴ ἀχθώμεθα, ὦ ἑταῖροι· τῇ γὰρ ἡδονῇ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη· καὶ ἡμᾶς οὖν ἔδει τοσαῦτα προησθέντας, πάντως τι καὶ λυπηθῆναι.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀποτυχίαις.

## ΚΟΜΠΑΣΤΗΣ.

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἀνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ καὶ ἐν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς τοῦτο δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν παρόντων δέ τις ὑπολαβὼν, ἔφη· ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἐστὶν, οὐδὲν δεῖ σοι μαρτύρων. Ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστι.

## ΑΔΥΝΑΤΑ ΕΠΑΓΓΕΛΛΟΜΕΝΟΣ.

Ἀνὴρ πένης νοσῶν, καὶ κακῶς διακείμενος, ἐπειδὴ πρὸς τῶν ἰατρῶν ἀπεγνώσθη, τῶν Θεῶν ἐδεῖτο, ὡς εἰ τὴν ὑγιείαν αὐτῷ πάλιν ἐπανελθεῖν ποιήσειαν, ἑκατὸν βόας αὐτοῖς προσοίσειν ὑπισχνούμενος εἰς θυσίαν. Τῆς δὲ γυναικὸς αὐτοῦ πυθομένης, καὶ ποῦ σοι ταῦτα, ἣν ὑγιάνῃς; ἐκεῖνος ἔφη· οἴει γὰρ ἀναστῆναί με ἐντεῦθεν, ἵν' οἱ Θεοὶ ταῦτά με ἀπαιτήσωσι;





Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοὶ ῥᾳδίως κατεπαγγέλλονται, ἅπερ τελέσαι ἔργῳ οὐ προσδοκῶσι.

## ΚΑΚΟΠΡΑΓΜΩΝ.

Ἀνὴρ Κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν Ἀπόλλωνα, πειρᾶσαι τοῦτον βουλόμενος. Καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔστη τε τοῦ τρίποδος ἔγγιστα, καὶ ἤρετο τὸν Θεὸν, λέγων· Ἄπολλον, ὃ μετὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν, ἢ ἄπνουν; βουλόμενος, ὡς εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον· εἰδ' ἔμπνουν, εὐθὺς ἀποπνίξας, νεκρὸν ἐκεῖνο προενεγκεῖν. Ὁ δέ γε Θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν· ὁπότερον, ὦ οὗτος, βούλει ποιῆσαι, ποίησον. Παρὰ σοὶ κεῖται γὰρ τοῦτο πρᾶξαι, ἤτοι ζῶν, ὃ κατέχεις, ἢ νεκρὸν ὑποδεῖξαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι τὸ Θεῖον ἀπαραλόγιστον, καὶ ἀλάθητον.

## ΑΛΙΕΙΣ.

Ἁλιεῖς ἐξελθόντες εἰς ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες, οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν, καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ Θύννος ὑπὸ τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. Οἱ δὲ τοῦτον λαβόντες, μεθ' ἡδονῆς ἀνεχώρησαν.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

## ΦΕΝΑΞ.

Ἀνὴρ πένης νοσῶν ηὔξατο τοῖς Θεοῖς, εἰ διασωθείη, βοῦς ἑκατὸν εἰς θυσίαν προσοίσειν. Οἱ δὲ Θεοὶ πειρᾶσαι τοῦτον βουλόμενοι τοῦ πάθους ἀπήλλαξαν. Ὁ δ' ἀναστὰς, ἐπειδὴ βοῶν ἠπόρει, στεατίνους βοῦς ἑκατὸν πλάσας, ἐπὶ τοῦ βωμοῦ θεὶς ὡλοκαύτωσεν. Οἱ δὲ Θεοὶ βουλόμενοι αὐτὸν ἀμύνασθαι, ὄναρ ἐπιστάντες αὐτῷ, εἶπον· ἄπελθε εἰς τὸν αἰγιαλὸν εἰς τόνδε τὸν τόπον, ἐκεῖ δὲ Ἀττικὰς δραχμὰς χιλίας εὑρήσεις. Ἐκεῖνος δὲ διϋπνισθεὶς, σὺν ἡδονῇ, καὶ σπουδῇ πρὸς τὸν ἀποδειχθέντα τόπον ἀφίκετο, τὸ χρυσίον διερευνῶν. Ἐκεῖ δὲ πειραταῖς περιτυχὼν, ὑπ' αὐτῶν συνελήφθη. Ἁλοὺς δὲ ἤδη, ἀφεθῆναι τῶν πειρατῶν ἐδεῖτο, χίλια χρυσίου τάλαντα δώσειν αὐτοῖς ὑπισχνούμενος. Ὡς δ' οὐκ ἐπιστεύετο, ἀπαχθεὶς ὑπ' αὐτῶν, ἀπεμπωλήθη χιλίων δραχμῶν.

Ὁ Μῦθος δηλοῖ, ὅτι τοῖς ψεύδεσι τῶν ἀνθρώπων ἐχθραίνει τὸ Θεῖον.

## ΒΑΤΡΑΧΟΙ.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος, θατέρῳ φησί· συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ. Ὁ δὲ ὑπολαβὼν εἶπεν· ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασι.

ΓΕ-

SISMANOGLIO



## ΓΕΡΩΝ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους, κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπαχθισμένος ἐβάδισεν, ἀπειρηκὼς, ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. Τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν αὐτὸν καλοίη, ὁ Γέρων ἔφη· ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι.

Ὁ Μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος ὢν, κἂν μυρίοις κινδύνοις περιπεσὼν, δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

## ΓΡΑΥΣ ΚΑΙ ΙΑΤΡΟΣ.

Γυνὴ Γραῦς ἀλγοῦσα τοὺς ὀφθαλμοὺς, εἰσκαλεῖται τινα τῶν Ἰατρῶν ἐπὶ μισθῷ, συμφωνήσασα, ὡς εἰ μὲν θεραπεύσειεν αὐτὴν, τὸν ὁμολογηθέντα μισθὸν αὐτῷ δώσειν, εἰ δὲ μὴ μηδὲν δώσειν. Ἐνεχείρησε μὲν οὖν ὁ Ἰατρὸς τῇ θεραπείᾳ. Καθ' ἡμέραν δὲ φοιτῶν ὡς τὴν πρεσβῦτιν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῇ χρίων, ἐκείνης μηδαμῶς ἀναβλέπειν ἐχούσης τὴν ὥραν ἐκείνην ὑπὸ τοῦ χρίσματος, αὐτὸς ἀεί τι τῶν τῆς οἰκίας σκευῶν ὑφαιρούμενος, ὁσημέραι ἀπῄει. Ἡ μὲν οὖν Γραῦς τὴν ἑαυτῆς περιουσίαν ἑώρα καθ' ἑκάστην ἐλαττουμένην ἐπὶ τοσοῦτον, ὡς καὶ τέλος παντάπασιν αὐτῇ θεραπευθείσῃ μηδὲν ὑπολειφθῆναι. Τοῦ δὲ Ἰατροῦ τοὺς συμφωνηθέντας μισθοὺς αὐτὴν ἀπαιτοῦντος, ὡς καθαρῶς βλεπούσαν ἤδη, καὶ τοὺς μάρτυρας παραγόντος· μᾶλλον μὲν οὖν, εἶπεν ἐκείνη, τανῦν οὐδοτιοῦν βλέπω· ἡνίκα μὲν γὰρ τοὺς ὀφ-

θαλ-

θαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν· νῦν δ' ὅτε με σὺ βλέπειν φὴς, οὐδοτιοῦν ἐκείνων ὁρῶ.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων ἐξ ὧν πράττουσι, λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

## ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΑΙΔΕΣ ΑΥΤΟΥ.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ Παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς, ἔφη· Παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τὸν βίον ὑπέξειμι· ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες, εὑρήσετε πάντα. Οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν· καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκε.

Ὁ Μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

## ΔΕΣΠΟΤΗΣ ΚΑΙ ΚΥΝΕΣ.

Ἀνήρ τις ὑπὸ χειμῶνος ἐν τῷ αὐτοῦ προαστείῳ ἀπολειφθεὶς, πρῶτα μὲν τὰ πρόβατα κατέφαγεν, εἶτα τὰς αἶγας. Τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος, καὶ τοὺς ἐργάτας βοῦς σφάξας, ἐθοινήσατο. Οἱ δὲ Κύνες ταῦτα ἰδόντες, διελέχθησαν πρὸς ἀλλήλους· φύγωμεν ἀλλ' ἡμεῖς γε ἐντεῦθεν· εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται;

Ὁ



Ὁ Μῦθος δηλοῖ, ὅτι τούτους μάλιστα φεύγειν, καὶ φυλάττεσθαι χρὴ, οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

## ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ.

Γυνὴ χήρα τις Ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς εἰ πλείους τῇ Ὄρνιθι κριθὰς παραβάλλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δ' Ὄρνις πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀποβάλλουσι.

## ΚΥΝΟΔΗΚΤΟΣ.

Δηχθείς τις ὑπὸ Κυνὸς, τὸν ἰασόμενον περιῄει ζητῶν. Ἐντυχὼν δέ τις αὐτῷ, καὶ γνοὺς ὃ ζητεῖ, ὦ οὗτος, εἶπεν, εἰ σώζεσθαι βούλει, λαβὼν ἄρτον, καὶ τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας, τῷ δακόντι Κυνὶ φαγεῖν ἐπίδος. Κἀκεῖνος γελάσας ἔφη· ἀλλ' εἰ τοῦτο ποιήσω, δεῖ με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει Κυνῶν δηχθῆναι.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ εὐεργετούμενοι, μᾶλλον ἀδικεῖν παροξύνονται.

## ΝΕΑΝΙΣΚΟΙ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Δύο Νεανίσκοι Μαγείρῳ παρεκάθηντο· καὶ δὴ τοῦ Μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θατέρου καθῆκε κόλπον. Ἐπιστραφέντος δὲ τοῦ

Μα-

SISMANOGLIO

Μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς, ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων, μὴ εἰληφέναι. Ὁ δὲ Μάγειρος αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν· ἀλλὰ κἂν ἐμὲ λάθητε, τὸν γ' ἐπιορκούμενον Θεὸν οὔκουν λήσεσθε.

Ὁ Μῦθος δηλοῖ, ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε Θεὸν οὐ λήσομεν.

## ΕΧΘΡΟΙ.

Δύο τινὲς ἀλλήλοις ἐχθραίνοντες, ἐπὶ τῆς αὐτῆς νεὼς ἔπλεον· ὧν ἅτερος μὲν ἐπὶ τῆς πρύμνης, ἅτερος δὲ ἐπὶ τῆς πρώρας ἐκάθητο. Χειμῶνος δὲ ἐπιγενομένου, καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο, πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι; Τοῦ δὲ τὴν πρώραν εἰπόντος· ἀλλ' ἔμοιγε οὐκ ἔστι λυπηρὸν, εἶπεν, ὁ θάνατος, εἴγε ὁρᾶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων οὐδὲν τῆς ἑαυτῶν βλάβης φροντίζουσιν, εἰ τοὺς ἐχθροὺς μόνον ἴδωσι πρὸ αὐτῶν κακουμένους.

## ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΜΥΕΣ.

Ἐν οἰκίᾳ τινὶ πολλῶν Μυῶν ὄντων, Αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα, καὶ καθέκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. Οἱ δὲ καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους ὁρῶντες, ἔφασαν πρὸς ἀλλήλους· μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν ἀπολώμεθα· τοῦ γὰρ Αἰλούρου μὴ δυναμένου δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σωθησόμεθα. Ὁ δὲ Αἴλουρος μηκέτι τῶν Μυῶν κατιόντων, ἔγνω δι' ἐπινοίας αὐτοὺς σοφιζόμενος ἐκκαλέσασθαι. Καὶ δὴ ἀπὸ πασσάλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπῃώρησε, καὶ προσεποιεῖτο νεκρὸν εἶναι. Τῶν δὲ Μυῶν τις παρακύψας, καὶ ἰδὼν αὐτὸν, ἔφη· ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι.



Ὁ Μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρίσεσι.

## ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.

Ἐν συνόδῳ ποτὲ τῶν ἀλόγων ζώων ὠρχήσατο Πίθηκος, καὶ εὐδοκιμήσας, Βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Ἀλώπηξ δ' αὐτῷ φθονήσασα, ὡς ἔν τινι παγίδι κρέας ἐθεάσατο, τὸν Πίθηκον λαβοῦσα, ἐνταῦθα ἤγαγεν, ὡς εὕρηκεν αὐτὴ, λέγουσα, θησαυρὸν τοῦτον, μὴ μέντοι καὶ χρήσασθαι αὐτῷ· τῷ Βασιλεῖ γὰρ τοῦτον ὁ νόμος δίδωσι· καὶ προὐτρέπετο αὐτὸν, ἅτε δὴ Βασιλέα, τὸν θησαυρὸν ἀνελέσθαι. Ὁ δ' ἀπερισκέπτως προσελθὼν, καὶ συλληφθεὶς ὑπὸ τῆς παγίδος, ὡς ἐξαπατήσασαν ἐμέμφετο τὴν Ἀλώπεκα. Ἡ δὲ πρὸς αὐτόν· ὦ Πίθηκε, τοιαύτην σὺ μωρίαν ἔχων, τῶν ἀλόγων βασιλεύσεις;

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ πράξεσί τισιν ἀπερισκέπτως ἐπιχειροῦντες, δυστυχήμασι περιπίπτουσι.

## ΘΥΝΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝ.

Θύννος διωκόμενος ὑπὸ Δελφῖνος, καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελ-



SISMANOGLIO

λον, ἔλαθεν ὑπὸ σφοδρᾶς ῥύμης ἐκπεσὼν εἴς τινα νῆσον. Ὑπὸ δὲ τῆς ὁμοίας ῥύμης, καὶ ὁ Δελφὶν αὐτῷ συνεξώκειλεν. Ὁ δὲ Θύννος ἐπιστραφεὶς, καὶ λειποψυχοῦντα τὸν Δελφῖνα ἑωρακὼς, εἶπεν· οὐκέτι μοι ὁ θάνατος λυπηρὸς, ὁρῶντι τὸν αἴτιον γεγονότα μοι τούτου σὺν ἐμοὶ ἀποθνήσκοντα.

Ὁ Μῦθος δηλοῖ, ὅτι ῥαδίως τὰς συμφορὰς οἱ ἄνθρωποι φέρουσι, τοὺς τούτων αἰτίους δυστυχοῦντας ὁρῶντες.

## ΙΑΤΡΟΣ ΚΑΙ ΝΟΣΩΝ.

Ἰατρὸς Νοσοῦντα ἐθεράπευε· τοῦ δὲ νοσοῦντος ἀποθανόντος, ἐκεῖνος πρὸς τοὺς ἐκκομίζοντας ἔλεγεν· οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο, καὶ κλυστῆρσιν ἐχρῆτο, οὐκ ἂν ἐτεθνήκει. Τῶν δὲ παρόντων ὑπολαβών τις ἔφη· βέλτιστε, οὐκ ἔδει σε ταῦτα νῦν λέγειν, ὅτε μηδὲν ὄφελός ἐστιν, ἀλλὰ τότε παραινεῖν, ὅτε τούτοις χρῆσθαι ἠδύνατο.

Ὁ Μῦθος δηλοῖ, ὅτι δεῖ τοὺς φίλους ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν.

## ΙΞΕΥΤΗΣ ΚΑΙ ΕΧΙΣ.

Ἰξευτὴς ἰξὸν ἀναλαβὼν, καὶ καλάμους, πρὸς ἄγραν ἐξῆλθεν. Ἰδὼν δὲ κίχλαν ἐφ' ὑψηλοῦ δένδρου καθεζομένην, καὶ τοὺς καλάμους ἀλλήλοις ἐπὶ μῆκος συνάψας, ἄνω πρὸς αὐτὴν, συλλαβεῖν βουλόμενος, ἐφεώρα. Καὶ δὴ λαθὼν, Ἔχιν κοιμωμένην ὑπὸ πόδας ἐπάτησε. Τῆς δ' ὀργισθείσης, καὶ δακούσης αὐτὸν, ἐκεῖνος ἤδη λειποψυχῶν ἔλεγε· δύστηνος ἐγώ· ἕτερον γὰρ θηρεῦσαι βουλόμενος, αὐτὸς ὑφ' ἑτέρου ἠγρεύθην εἰς θάνατον.





Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πέλας ἐπιβουλεύοντες, λανθάνουσι πολλάκις, ὑφ' ἑτέρων τοῦτ' αὐτὸ πάσχοντες.

## ΚΑΣΤΩΡ.

Ὁ Κάστωρ ζῶόν ἐστι τετράπουν, ἐν λίμναις τὰ πολλὰ διαιτώμενον, οὗ τὰ αἰδοῖα φασὶν ἰατροῖς χρήσιμα εἶναι. Οὗτος οὖν, ἐπειδὰν ὑπ' ἀνθρώπων διωκόμενος καταλαμβάνηται, γινώσκων οὗ χάριν διώκεται, ἀποτεμὼν τὰ ἑαυτοῦ αἰδοῖα, ῥίπτει πρὸς τοὺς διώκοντας, καὶ οὕτω σωτηρίας τυγχάνει.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, οὐδένα λόγον τῶν χρημάτων ποιοῦνται.

## ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Κύων εἰσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ Μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. Ὁ δὲ Μάγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν· ὦ οὗτος, ἴσθι ὡς ὅπου περ ἂν ᾖς, φυλάξομαί σε· οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν ἔδωκας.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

## ΚΥΩΝ ΚΑΙ ΛΥΚΟΣ.

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. Λύκου δὲ ἐπιδραμόντος, καὶ βρῶμα μέλλοντος θήσειν αὐτὸν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῆσαι· νῦν μὲν γὰρ φη-



SISMANOGLIO

σι, λεπτός εἰμι, καὶ ἰσχνός· ἂν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν, πιμελέστερος ἔσομαι, καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι. Ὁ μὲν οὖν Λύκος πεισθεὶς, ἀπῆλθε. Μεθ' ἡμέρας δ' ἐπανελθὼν, εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν Κύνα καθεύδοντα, καὶ στὰς κάτωθεν, πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Καὶ ὁ Κύων· ἀλλ' ὦ Λύκε, εἰ τοαποτοῦδε πρὸ τῆς ἐπαύλεώς με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες σωθῶσι, διὰ βίου τοῦτο φυλάττονται.

## ΚΥΩΝ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.

Κύων, καὶ Ἀλεκτρυὼν ἑταιρείαν ποιησάμενοι, ὥδευον· ἑσπέρας δὲ καταλαβούσης, ὁ μὲν Ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβὰς, ὁ δὲ Κύων πρὸς τῇ ῥίζῃ τοῦ δένδρου κοίλωμα ἔχοντος. Τοῦ δὲ Ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος, Ἀλώπηξ ἀκούσασα, πρὸς αὐτὸν ἔδραμε, καὶ στᾶσα κάτωθεν, πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου, ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῶον ἔχον ἀσπάσασθαι. Τοῦ δὲ εἰπόντος, τὸν θυρωρὸν πρότερον διϋπνίσαι ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς ἐκείνου ἀνοίξαντος, κατελθεῖν· κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ Κύων αἴφνης πηδήσας, αὐτὴν διεσπάραξε.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.



SISMANOGLIO



## ΛΕΩΝ ΚΑΙ ΒΑΤΡΑΧΟΣ.

Λέων ἀκούσας ποτὲ Βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. Προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ὁ Μῦθος δηλοῖ, μὴ δεῖν πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι.

## ΛΕΩΝ ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων, καὶ Ὄνος, καὶ Ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ Λέων τῷ Ὄνῳ διελεῖν αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὐτρέπετο. Καὶ ὁ Λέων θυμωθεὶς, τὸν Ὄνον κατέφαγεν. Εἶτα τῇ Ἀλώπεκι μερίζειν ἐκέλευσεν. Ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπε. Καὶ ὁ Λέων πρὸς αὐτήν· τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν; Ἡ δ' εἶπε· τοῦ Ὄνου ἡ συμφορά.

Ὁ Μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

## ΛΕΩΝ ΚΑΙ ΑΡΚΤΟΣ.

Λέων, καὶ Ἄρκτος ὁμοῦ νεβρῷ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιάσαι, ἀπαυδήσαντες, ἔκειντο. Ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα, καὶ τὸν νεβρὸν

ρον ἐν τῷ μέσῳ κείμενον, τοῦτο διὰ μέσου ἀμφοῖν διαδραμοῦσα, καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. Οἱ δὲ βλέποντες μὲν αὐτὴν, μὴ δυνάμενοι δὲ ἀναστῆναι, δείλαιοι ἡμεῖς, εἶπον, ὅτι δι' Ἀλώπεκα ἐμοχθοῦμεν.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων, ἄλλοι κερδαίνουσι.

## ΜΑΝΤΙΣ.

Μάντις ἐπ' ἀγορᾶς καθήμενος διελέγετο. Ἐπιστάντος δέ τινος αἴφνης, καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν, καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας, καὶ δρομαῖος ᾔει. Τρέχοντα δέ τις αὐτὸν θεασάμενος, ὦ οὗτος, εἶπεν, ὁ τὰ ἀλλότρια προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου;

Ὁ Μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

## ΜΥΡΜΗΞ ΚΑΙ ΠΕΡΙΣΤΕΡΑ.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος, ἀπεπνίγετο. Περιστερὰ δὲ τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα, εἰς τὴν πηγὴν ἔρριψεν, ἐφ' οὗ καὶ καθίσας ὁ Μύρμηξ διεσώθη. Ἰξευτὴς δέ τις μετὰ τοῦτο, τοὺς καλάμους συνθεὶς, ἐπὶ τὸ τὴν Περιστερὰν συλλαβεῖν ᾔει. Τοῦτο δ' ὁ Μύρμηξ ἑωρακὼς, τὸν τοῦ Ἰξευτοῦ πόδα ἔδακεν· ὁ δ' ἀλγήσας, τούς τε καλάμους ἔρριψε, καὶ τὴν Περιστερὰν αὐτίκα φυγεῖν ἐποίησε.

Ὁ

SISMANOGLIO



Ὁ Μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

## ΝΥΚΤΕΡΙΣ ΒΑΤΟΣ ΚΑΙ ΑΙΘΥΙΑ.

Νυκτερὶς, καὶ Βάτος, καὶ Αἴθυια, ἑταιρείαν ποιησάμεναι, ἐμπορικὸν διέγνωσαν βίον ζῆν. Ἡ μὲν οὖν Νυκτερὶς ἀργύριον δανεισαμένη, καθῆκεν εἰς τὸ μέσον· ἡ δὲ Βάτος ἐσθῆτα μεθ' αὐτῆς ἔλαβεν· ἡ δὲ Αἴθυια τρίτη χαλκὸν, καὶ ἀπέπλευσαν. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσαντες, αὐτοὶ ἐπὶ τὴν γῆν διεσώθησαν. Ἐξ ἐκείνου τοίνυν ἡ μὲν Αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ παρεδρεύει, μήπου τὸν χαλκὸν ἐκβάλῃ ἡ θάλαττα. Ἡ δὲ Νυκτερὶς τοὺς δανειστὰς φοβουμένη, τῆς ἡμέρας οὐ φαίνεται, νύκτωρ δ' ἐπὶ νομὴν ἔξεισιν. Ἡ δὲ Βάτος τῆς τῶν παριόντων ἐσθῆτος ἐπιλαμβάνεται, εἴπου τὴν οἰκείαν ἐπιγνοίη ζητοῦσα.

Ὁ Μῦθος δηλοῖ, ὅτι περὶ ἃ σπουδάζομεν, τούτοις εἰς ὕστερον περιπίπτομεν.

## ΝΟΣΩΝ ΚΑΙ ΙΑΤΡΟΣ.

Νοσῶν τις, καὶ ὑπὸ τοῦ Ἰατροῦ ἐρωτώμενος, ὅπως διετηρήθη, πλέον, εἶπε, τοῦ δέοντος ἱδρωκέναι· ὁ δὲ, ἀγαθὸν, ἔφη, τοῦτο εἶναι. Ἐκ δευτέρου δὲ παρ' αὐτοῦ πάλιν ἐρωτηθεὶς, ὅπως ἔχει, φρίκῃ συσχεθεὶς, εἶπε, σφοδρῶς διατετινάχθαι. Ὁ δὲ, καὶ τοῦτ' ἀγαθὸν, ἔφησεν, εἶναι. Ἐκ δὲ τρίτου αὖθις ἐρωτηθεὶς, ὅπως διεγένετο, εἶπεν, ὑδέρῳ περιπεπτωκέναι. Ὁ δὲ, καὶ τοῦτο πάλιν ἀγαθὸν, εἶπεν, εἶναι. Εἶτα τῶν οἰκείων τινὸς αὐτὸν ἐρωτήσαντος,

ὅπως ἔχεις; Ἐγώ, εἶπεν, ὦ οὗτος, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι μάλιστα τῶν ἀνθρώπων δυσχεραίνομεν, τοὺς πρὸς χάριν ἀεὶ βουλομένους λέγειν.

## ΞΥΛΕΥΟΜΕΝΟΣ ΚΑΙ ΕΡΜΗΣ.

Ξυλευόμενός τις παρὰ τῷ ποταμῷ, τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. Ἀμηχανῶν τοίνυν, παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμόν, χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν, ἤρετο. Τοῦ δέ, μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβάς, ἀργυροῦν ἀνεκόμισε. Τοῦ δέ, μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον, εἰπόντος, ἐκ τρίτου καταβάς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα, φαμένου, Ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, πάντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος, πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξεληλύθει. Ὧν εἷς τις τὰ ἶσα διαπράξασθαι ἐβουλεύσατο. Καὶ παρὰ τὸν ποταμὸν ἐλθών, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ, καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε, καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ, ναὶ ἀληθῶς ἥδ' ἐστι, φήσαντος, μισήσας ὁ Θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

Ὁ Μῦθος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ Θεῖον συναίρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.





## ΟΝΟΣ ΚΑΙ ΚΗΠΟΥΡΟΣ.

Ὄνος ὑπηρετούμενος Κηπουρῷ, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πλεῖστα δ' ἐμόχθει, ηὔξατο τῷ Διΐ, ὥστε τοῦ Κηπουροῦ ἀπαλλαγείς, ἑτέρῳ ἀπεμπωληθῆναι δεσπότῃ. Τοῦ δὲ Διὸς ἐπακούσαντος, καὶ κελεύσαντος αὐτὸν Κεραμεῖ πραθῆναι, πάλιν ἐδυσφόρει, πλέον ἢ πρότερον ἀχθοφορῶν, καὶ τόν τε πηλόν, καὶ τοὺς κεράμους κομίζων. Πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέτευε, καὶ Βυρσοδέψῃ ἀπεμπωλεῖται. Εἰς χείρονα τοίνυν τῶν προτέρων δεσπότην ἐμπεσών, καὶ ὁρῶν τὰ παρ' αὐτοῦ πραττόμενα, μετὰ στεναγμῶν ἔφη· οἴμοι τῷ ταλαιπώρῳ! βέλτιον ἦν μοι παρὰ τοῖς προτέροις δεσπόταις μένειν· οὗτος γάρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κατεργάσεται.

Ὁ Μῦθος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς προτέρους δεσπότας οἱ οἰκέται ποθοῦσιν, ὅταν τῶν δευτέρων λάβωσι πεῖραν.

## ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΚΟΡΥΔΑΛΟΣ.

Ὀρνιθοθήρας ὄρνεσιν ἵστη παγίδας. Κορυδαλὸς δὲ τοῦτον πόρρωθεν ἰδών, ἐπυνθάνετο τί ποτ' ἐργάζοιτο. Τοῦ δὲ πόλιν κτίζειν φαμένου· εἶτα δὲ πορρωτέρω ἀποχωρήσαντος, καὶ κρυβέντος, ὁ Κορυδαλὸς τοῖς τοῦ ἀνδρὸς λόγοις πιστεύσας, προσελθὼν εἰς τὸν βρόχον ἑάλω. Τοῦ δὲ Ὀρνιθοθήρα ἐπιδραμόντος, ἐκεῖνος εἶπεν· ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζῃς, οὐ πολλοὺς εὑρήσεις τοὺς ἐνοικοῦντας.

Ὁ Μῦθος δηλοῖ, ὅτι τότε μάλιστα οἶκοι, καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσι.

## ΟΔΟΙΠΟΡΟΣ.

Ὁδοιπόρος πολλὴν ἀνύσας ὁδὸν, ηὔξατο, εἰ ἄρα εὑρήσει τι, τὸ ἥμισυ τούτου τῷ Ἑρμῇ ἀναθήσειν. Περιτυχὼν δὲ πήρᾳ μεστῇ φοινίκων, καὶ ἀμυγδάλων, καὶ ταύτην ἀνελόμενος, ἐκείνους μὲν ἔφαγε· τὰ δὲ τῶν φοινίκων ὀστᾶ, καὶ τὰ τῶν ἀμυγδάλων κελύφη ἐπί τινος ἀνέθηκε βωμοῦ, φήσας· ἀπέχεις ὦ Ἑρμῆ τὴν εὐχήν. Τοῦ γὰρ εὑρεθέντος τὰ ἐκτὸς, καὶ ἐντὸς πρὸς σὲ διανέμομαι.

Ὁ Μῦθος πρὸς ἄνδρα φιλάργυρον, περὶ τοὺς Θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

## ΠΑΙΣ ΚΑΙ ΜΗΤΗΡ.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας, ἤνεγκε τῇ Μητρί. Τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις, ἤρξατο καὶ τὰ μείζω κλέπτειν. Ἐπαυτοφώρῳ δέ ποτε ληφθεὶς, ἀπήγετο τὴν πρὸς θάνατον. Τῆς δὲ Μητρὸς ἑπομένης, καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο, βραχέα τινὰ τῇ Μητρὶ διαλεχθῆναι πρὸς τὸ οὖς. Τῆς δὲ ταχέως τῷ στόματι τοῦ παιδὸς προσθείσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο. Τῆς δὲ Μητρὸς, καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ' ἤδη καὶ εἰς τὴν Μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν· αὕτη γάρ μοι τῆς ἀπωλείας γέγονεν αἰτίος· εἰ γὰρ ὅτε τὴν δέλτον ἐκεκλόφειν, ἐπέπληξέ μοι, οὐκ

SISMANOGLIO



οὐκ ἂν μέχρι τούτων χωρήσας, νῦν ἠγόμην ἐπὶ τὸν θάνατον.

Ὁ Μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ' ἀρχὰς κολαζομένων, ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

## ΠΟΙΜΗΝ ΚΑΙ ΘΑΛΑΣΣΑ.

Ποιμὴν ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορείαν. Ἀπεμπολήσας οὖν τὰ πρόβατα, καὶ φοινίκων βαλάνους πριάμενος, ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηῒ διεσώθη. Μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς, καὶ τῆς θαλάττης (ἔτυχε γὰρ αὕτη γαληνιῶσα) τὴν ἠρεμίαν θαυμάζοντος, ὑπολαβὼν οὗτος, εἶπε· φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.

Ὁ Μῦθος δηλοῖ, ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

## ΡΟΙΑ ΚΑΙ ΜΗΛΕΑ.

Ῥοιά, καὶ Μηλέα περὶ κάλλους ἤριζον. Πολλῶν δ' ἀμφισβητήσεων μεταξὺ γενομένων, Βάτος ἐκ τοῦ πλησίον ἀκούσασα φραγμοῦ, παυσώμεθα, εἶπεν, ὦ φίλαι, ποτὲ μαχόμεναι.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἐν ταῖς τῶν ἀμεινόνων στάσεσι, καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

## ΑΣΠΑΛΑΞ.

Ὁ Ἀσπάλαξ τυφλὸν ζῶόν ἐστι. Φησὶν οὖν ποτε τῇ μητρί· συκαμινέαν μῆτερ ὁρῶ. Εἶτα αὖθις φησί· λιβανοῦ ὀσμῆς πεπλήρωμαι. Κἄπειτα πάλιν, χαλκῆς, φησὶ, ψηφῖδος κτύπον ἀκούω. Ἡ δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν· ὦ τέκνον, ὡς ἤδη καταμανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς, καὶ ὀσφρήσεως.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀλαζόνων τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

## ΣΦΗΚΕΣ ΚΑΙ ΠΕΡΔΙΚΕΣ.

Σφῆκες, καὶ Πέρδικες δίψῃ συνεχόμενοι, πρὸς γεωργὸν ἦλθον, παρ' αὐτοῦ αἰτοῦντες πιεῖν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν· οἱ μὲν Πέρδικες σκάψειν τὰς ἀμπέλους· οἱ δὲ Σφῆκες κύκλῳ περιϊόντες τοῖς κέντροις ἀποσοβεῖν τοὺς κλέπτας. Ὁ δὲ γεωργὸς ἔφη· ἀλλ' ἔμοιγε εἰσὶ δύο βόες, οἳ μηδὲν ἐπαγγελλόμενοι, πάντα ποιοῦσιν· ἄμεινον οὖν ἐστιν ἐκείνοις δοῦναι, ἤπερ ὑμῖν.

Ὁ Μῦθος πρὸς ἄνδρας ἐξώλεις, ὠφελεῖν μὲν ἐπαγγελομένους, βλάπτοντας δὲ μεγάλα.

## ΤΑΩΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.

Τῶν Ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, Ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν. Αἱ-

ρου-



ρουμένων δὲ τοῦτον πάντων, Κολοιὸς ὑπολαβὼν, ἔφη· ἀλλ' εἰ σοῦ βασιλεύοντος, Ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

Ὁ Μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην, καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

## ΜΟΝΙΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Μονιὸς ἄγριος ἐπί τινος ἑστὼς δένδρου, τοὺς ὀδόντας ἔθηγεν. Ἀλώπεκος δ' ἐρομένης τὴν αἰτίαν, ὅτι μηδεμιᾶς προκειμένης ἀνάγκης, τί τοὺς ὀδόντας θήγει; ἔφη· οὐκ ἀλόγως τοῦτο ποιῶ· εἰ γάρ με κίνδυνος περισταίη, οὐκ ἄν με τηνικαῦτα πρὸς τοὺς ὀδόντας ἀκονᾷν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

## ΚΟΡΥΔΑΛΟΣ.

Κορυδαλὸς εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν· οἴμοι τῷ ταλαιπώρῳ, καὶ δυστήνῳ πτηνῷ! Οὐ χρυσὸν ἐνοσφισάμην τινὸς, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων. Κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξένησεν.

Ὁ Μῦθος πρὸς τοὺς διὰ κέρδος εὐτελὲς, μέγαν ὑφισταμένους κίνδυνον.

## ΝΕΒΡΟΣ.

Νεβρός ποτε πρὸς τὸν Ἔλαφον εἶπε· πάτερ, σὺ καὶ μείζων, καὶ ταχύτερος κυνῶν πέφυκας, καὶ κέ-

ρα-

ρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμυναν, τί δήποτ' οὖν οὔπω τοὺς φοβῇ; Κἀκεῖνος γελῶν εἶπεν· ἀληθῆ μὲν ταῦτα φὴς, τέκνον· ἓν δ' οἶδα, ὡς ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν, οὐκ οἶδ' ὅπως, ἐκφέρομαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ῥώννυσι.

## ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Οἱ Λαγωοί ποτε συνελθόντες, τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη, καὶ δειλίας πλέως. Καὶ γὰρ καὶ ὑπ' ἀνθρώπων, καὶ κυνῶν, καὶ ἀετῶν, καὶ ἄλλων πολλῶν ἀναλίσκονται. Βέλτιον οὖν εἶναι θανεῖν ἅπαξ, ἢ διὰ βίου τρέμειν. Τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταὐτὸν εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσούμενοι, καὶ ἀποπνιγησόμενοι. Τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης Βατράχων, ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν Λαγωῶν τις ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη· στῆτε ἑταῖροι, μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε· ἤδη, ὡς ὁρᾶτε, καὶ ἡμῶν ἕτερά ἐστι ζῶα δειλότερα.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ δυστυχοῦντες ἐξ ἑτέρων χείρονα παθόντων παραμυθοῦνται.

## ΟΝΟΣ ΚΑΙ ΙΠΠΟΣ.

Ὄνος Ἵππον ἐμακάριζεν, ὡς ἀφθόνως τρεφόμενον, καὶ ἐπιμελῶς, αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα πλεῖστα ταλαιπωρῶν. Ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου, καὶ ὁ Στρατιώτης ἔνοπλον ἀ-

νέβη



νέβη τὸν Ἵππον, πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε, καὶ ὁ Ἵππος πληγεὶς ἔκειτο. Ταῦτα ἑωρακὼς ὁ Ὄνος, τὸν Ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας, καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον, καὶ τὸν κίνδυνον ἀναλογιζομένους, τὴν πενίαν ἀγαπᾷν.

## ΦΙΛΑΡΓΥΡΟΣ.

Φιλάργυρός τις ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος, καὶ χρυσοῦν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ τὴν ψυχὴν ἑαυτοῦ, καὶ τὸν νοῦν, καὶ καθ' ἡμέραν ἐρχόμενος αὐτὸν ἔβλεπε. Τῶν δ' ἐργατῶν τις αὐτὸν παρατηρήσας, καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. Μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν, καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο, καὶ τίλλειν τὰς τρίχας. Τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν, καὶ τὴν αἰτίαν πυθόμενος, μὴ οὕτως εἶπεν, ὦ οὗτος, ἀθύμει· οὐδὲ γὰρ ἔχων τὸν χρυσὸν εἶχες. Λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς, καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι· τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν. Ὡς ὁρῶ γὰρ, οὐδ' ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τοῦ κτήματος.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ χρῆσις προσῇ.

## ΧΗΝΕΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.

Χῆνες, καὶ Γέρανοι ἐπὶ τ' αὐτοῦ λειμῶνος ἐνέμοντο. Τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν Γέρα-

νοι

νοι κοῦφοι ὄντες, ταχέως ἀπέπτησαν· οἱ δὲ Χῆνες διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως, οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν, ἁλισκόμενοι.

## ΧΕΛΩΝΗ ΚΑΙ ΑΕΤΟΣ.

Χελώνη Ἀετοῦ ἐδεῖτο ἵπτασθαι ταύτην διδάξαι. Τοῦ δὲ παραινοῦντος, πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ' ἀφῆκεν. Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις, τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

## ΨΥΛΛΑ.

Ψύλλα ποτὲ πηδήσασα, ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν. Ὁ δὲ τὸν Ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει. Τῆς δὲ ἐκεῖθεν αὖθις ἐφαλλομένης, στενάξας εἶπεν· ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις;

Ὁ Μῦθος δηλοῖ, μὴ δεῖν ἐπὶ τῶν ἐλαχίστων τοῦ Θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

## ΕΛΑΦΟΣ.

Ἔλαφος τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν, ἐπ' ἠϊόνος ἐνέμετο, τὸν μὲν ὑγιᾶ τῶν ὀφθαλμῶν πρὸς τὴν ξηρὰν διὰ τοὺς κυνηγετοῦντας ἔχουσα, τὸν δὲ λοιπὸν πρὸς τὴν θάλατταν, ὅθεν οὐδὲν ὑπώ-

πτευε,



πτευε. Παραπλέοντες δέ τινες, καὶ τούτου στοχασάμενοι, αὐτῆς κατετόξευσαν. Ἡ δ' ἑαυτὴν ὠλοφύρετο, ὡς ὑφ' ἧς μὲν ἐδεδοίκει, μηδὲν παθοῦσα, ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν, ὑπὸ ταύτης προδιδομένη.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλάκις ἡμῖν τὰ βλαβερὰ δοκοῦντα, ὠφέλιμα γίνεται· τὰ δ' ὠφέλιμα, βλαβερά.

## ΕΛΑΦΟΣ ΚΑΙ ΛΕΩΝ.

Ἔλαφος κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ· Λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. Θνήσκουσα δ' ἔλεγεν· οἴμοι! ὅτι ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων, μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

## ΕΛΑΦΟΣ ΚΑΙ ΑΜΠΕΛΟΣ.

Ἔλαφος κυνηγοὺς φεύγουσα, ὑπ' Ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ Ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς Ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες, καὶ ὅπερ ἦν ἀληθὲς, νομίσαντες τῶν ζώων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσι ἀνεῖλον τὴν Ἔλαφον. Ἡ δὲ θνήσκουσα τοιαῦτ' ἔλεγε· δίκαια πέπονθα· οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ ἀδικοῦντες τοὺς εὐεργέτας, ὑπὸ Θεοῦ κολάζονται.



SISMANOGLIO

## ΟΝΟΣ ΚΑΙ ΛΕΩΝ.

Ὄνῳ ποτὲ Ἀλεκτρυὼν συνεβόσκετο. Λέοντος δ' ἐπελθόντος τῷ Ὄνῳ, ὁ Ἀλεκτρυὼν ἐφώνησε, καὶ ὁ μὲν Λέων (φασὶ γὰρ τοῦτον τὴν Ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι) ἔφυγεν. Ὁ δ' Ὄνος νομίσας δι' αὐτὸν πεφευγέναι, ἐπέδραμεν εὐθὺς τῷ Λέοντι. Ὡς δὲ πόῤῥω τοῦτον ἐδίωξεν, ἔνθα μηκέτι ἡ τοῦ Ἀλεκτρυόνος ἐφικνεῖτο φωνή, στραφεὶς ὁ Λέων κατεθοινήσατο. Ὁ δὲ θνήσκων ἐβόα· ἄθλιος ἐγώ, καὶ ἀνόητος! πολεμιστῶν γὰρ μὴ ὢν γονέων, τίνος χάριν εἰς πόλεμον ἐξωρμήθην;

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ταπεινουμένοις ἐπίτηδες τοῖς ἐχθροῖς ἐπιτίθενται, καὶ οὕτως ὑπ' ἐκείνων ἀπόλλυνται.

## ΚΗΠΟΥΡΟΣ ΚΑΙ ΚΥΩΝ.

Κηπουροῦ Κύων εἰς φρέαρ κατέπεσεν. Ὁ δὲ Κηπουρὸς βουλόμενος αὐτὸν ἐκεῖθεν ἀνενεγκεῖν, κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ. Οἰηθεὶς δ' ὁ Κύων, ὡς κατωτέρω μᾶλλον αὐτὸν παραγέγονε καταδῦσαι, τὸν Κηπουρὸν στραφεὶς ἔδακεν. Ὁ δὲ μετ' ὀδύνης ἐπανιών, δίκαια, φησί, πέπονθα· τί δήποτε γὰρ τὸν αὐτόχειρα σῶσαι ἐσπούδασα;

Ὁ Μῦθος πρὸς ἀδίκους, καὶ ἀχαρίστους.

## ΣΥΣ ΚΑΙ ΚΥΩΝ.

Σῦς, καὶ Κύων ἀλλήλοις διελοιδοροῦντο. Καὶ ἡ μὲν Σῦς ὤμνυε κατὰ τῆς Ἀφροδίτης, ἡ μὴν τοῖς ὀδοῦ-





ὀδοῦσιν ἀναῤῥήξειν τὴν Κύνα· ἡ δὲ Κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε· καλῶς κατὰ τῆς Ἀφροδίτης ἡμῖν ὀμνύεις, δηλοῖς γὰρ ὑπ' αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι, ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γευόμενον οὐδ' ὅλως εἰς Ἱερὸν προσίεται. Καὶ ἡ Σῦς· διὰ τοῦτο μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ Θεὸς στέργουσά με· τὸν γὰρ κτείναντα, ἢ ἄλλως λυμαινόμενον παντάπασιν ἀποστρέφεται· σὺ μέντοι κακῶς ὄζεις καὶ ζῶσα, καὶ τεθνηκυῖα.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων τὰ ἀπὸ τῶν ἐχθρῶν ὀνείδη εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσι.

## ΥΣ ΚΑΙ ΚΥΩΝ.

Ὗς, καὶ Κύων περὶ εὐτοκίας ἤριζον. Ἔφη δ' ἡ Κύων, εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν. Καὶ ἡ Ὗς ὑποτυχοῦσα πρὸς ταῦτα, φησίν· Ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι, ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

## ΟΦΙΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ.

Ὄφις Καρκίνῳ συνδιῃτᾶτο, ἑταιρείαν πρὸς αὐτὸν ποιησάμενος. Ὁ μὲν οὖν Καρκῖνος ἁπλοῦς ὢν τὸν τρόπον, μεταβαλέσθαι κἀκεῖνον παρῄνει τῆς πανουργίας. Ὁ δὲ οὐδοτιοῦν ἑαυτὸν παρεῖχε πειθόμενον. Ἐπιτηρήσας δ' ὁ Καρκῖνος αὐτὸν ὑπνοῦντα, καὶ ὅσον οἷόν τε πιέσας, φονεύει. Τοῦ δ' Ὄφεως μετὰ θάνατον ἐκταθέντος, ἐκεῖνος εἶπεν· οὕτως ἔδει

καὶ πρόσθεν εὐθὺν, καὶ ἁπλοῦν εἶναι· οὐδὲ γὰρ ἂν ταύτην τὴν δίκην ἔτισας.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες, αὐτοὶ μᾶλλον βλάπτονται.

## ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΟΣ.

Ποιμὴν νεογνὸν Λύκου σκύμνον εὑρὼν, καὶ ἀνελόμενος, σὺν τοῖς κυσὶν ἔτρεφεν. Ἐπεὶ δ' ηὐξήνθη, εἴποτε Λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. Τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν Λύκον, καὶ διὰ ταῦτα ὑποστρεφόντων, ἐκεῖνος ἠκολούθει, μέχρις ἂν τοῦτον καταλαβὼν, οἷα δὴ Λύκος συμμετάσχῃ τῆς θήρας, εἶτα ὑπέστρεφεν. Εἰ δὲ μὴ Λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρα θύων, ἅμα τοῖς κυσὶν ἐθοινεῖτο, ἕως ὁ Ποιμὴν στοχασάμενος, καὶ συνεὶς τὸ δρώμενον, εἰς δένδρον αὐτὸν ἀναρτήσας ἀπέκτεινεν.

Ὁ Μῦθος δηλοῖ, ὅτι φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τρέφει.

## ΛΕΩΝ ΚΑΙ ΛΥΚΟΣ.

Λέων γηράσας, ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ. Παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα, πλὴν Ἀλώπεκος, τἆλλα τῶν ζώων. Ὁ τοίνυν Λύκος λαβόμενος εὐκαιρίας, κατηγόρει παρὰ τῷ Λέοντι τῆς Ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. Ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ Ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ Λύκου





ῥημάτων. Ὁ μὲν οὖν Λέων κατ' αὐτῆς ἐβρυχᾶτο· ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα, καὶ τίς, ἔφη, τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν, ὅσον ἐγὼ, πανταχόσε περινοστήσασα, καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατροῦ ζητήσασα, καὶ μαθοῦσα; Τοῦ δὲ Λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησίν· εἰ Λύκον ζῶντα ἐκδείρας, τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ. Καὶ τοῦ Λύκου κειμένου, ἡ Ἀλώπηξ γελῶσα εἶπεν· οὕτως οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν κινεῖν, ἀλλὰ πρὸς εὐμένειαν.

Ὁ Μῦθος δηλοῖ ὅτι ὁ καθ' ἑκάστην μηχανώμενος, καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

## ΓΥΝΗ.

Γυνή τις ἄνδρα μέθυσον εἶχε, τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα, τοιόνδε τι σοφίζεται. Κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα, καὶ νεκροῦ δίκην ἀναισθητοῦντα, ἐπ' ὤμων ἄρασα, ἐπὶ τὸ πολυάνδρειον ἀπενεγκοῦσα, κατέθετο, καὶ ἀπῆλθεν. Ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα, τὴν θύραν ἔκοπτε τοῦ πολυανδρείου. Ἐκείνου δὲ φήσαντος, τίς ὁ τὴν θύραν κόπτων; ἡ Γυνὴ ἀπεκρίνατο· ὁ τοῖς νεκροῖς τὰ σιτεία κομίζων, ἐγὼ πάρειμι. Κἀκεῖνος· μή μοι φαγεῖν, ἀλλὰ πιεῖν, ὦ βέλτιστε, μᾶλλον προσένεγκε· λυπεῖς γάρ με, βρώσεως, ἀλλὰ μὴ πόσεως μνημονεύων. Ἡ δὲ τὸ στῆθος πατάξασα, οἴμοι τῇ δυστήνῳ, φησίν! οὐδὲν γὰρ οὐδὲ σοφισαμένη ὤνησα· σὺ γὰρ ἄνερ οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σεαυτοῦ γέγονας, εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν· ἔσται γὰρ ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ τὸ ἔθος ἐπιτίθεται.

## ΚΥΚΝΟΣ.

Ἀνὴρ εὐπορῶν Χῆνά τε ἅμα, καὶ Κύκνον ἔτρεφεν, οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι· τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἕνεκεν. Ἐπεὶ δὲ ἔδει τὸν Χῆνα παθεῖν, ἐφ᾽ οἷς ἐτρέφετο, νὺξ μὲν ἦν, καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. Ὁ δὲ Κύκνος ἀντὶ τοῦ Χηνὸς ἀπαχθείς, ᾄδει τι μέλος θανάτου προοίμιον, καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν, τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλάκις ἡ Μουσικὴ τῆς τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

## ΑΙΘΙΟΨ.

Αἰθίοπά τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος· καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν. Καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

Ὁ Μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

## ΧΕΛΙΔΩΝ ΚΑΙ ΚΟΡΩΝΗ.

Χελιδὼν, καὶ Κορώνη περὶ κάλλους ἐφιλονείκουν. Ὑπολαβοῦσα δὲ ἡ Κορώνη, πρὸς αὐτὴν εἶ-



SISMANOGLIO MEGARO



πεν· ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δ᾽ ἐμὸν σῶμα καὶ χειμῶνι παρατείνεται.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἡ παράτασις τοῦ σώματος εὐπρεπείας κρείττων ἐστί.

## ΒΟΥΤΑΛΙΣ.

Βουτάλις ἀπό τινος θυρίδος ἐκρέματο. Νυκτερὶς δὲ προσελθοῦσα, ἐπυνθάνετο τὴν αἰτίαν, δι᾽ ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει. Τῆς δὲ μὴ μάτην τοῦτο ποιεῖν λεγούσης, ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθη, καὶ διὰ τοῦτο ἀπ᾽ ἐκείνου ἐσωφρονίσθη· ἡ Νυκτερὶς εἶπεν· ἀλλ᾽ οὐ νῦν σε φυλάττεσθαι δεῖ, ὅτε μηδὲν ὄφελος, ἀλλὰ πρὶν ἢ συλληφθῆναι.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἐπὶ τοῖς ἀτυχήμασιν ἀνόνητος ἡ μετάνοια.

## ΚΟΧΛΙΑΙ.

Γεωργοῦ παῖς ὤπτα Κοχλίας. Ἀκούσας δὲ αὐτῶν τρυζόντων, ἔφη· ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε;

Ὁ Μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

## ΓΥΝΗ ΚΑΙ ΘΕΡΑΠΑΙΝΑΙ.

Γυνὴ χήρα φιλεργὸς θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ συνεχῶς τῷ πόνῳ τα-

ταλαιπωρούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανισάντος τὴν δέσποιναν. Συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις, χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχότερον ταύτας ἀνίςη.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα, κακῶν αἴτια γίνεται.

## ΓΥΝΗ ΜΑΓΟΣ.

Γυνὴ Μάγος θείων μηνυμάτων ἀποτροπιασμοὺς ἐπαγγελλομένη, πολλὰ διετέλει ποιοῦσα, καὶ κέρδος ἐντεῦθεν ἔχουσα. Γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας, εἷλον, καὶ καταδικασθεῖσαν ἀπῆγον εἰς θάνατον. Ἰδὼν δέ τις ἀπαγομένην αὐτὴν, ἔφη· ἡ τὰς τῶν Θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταποιῆσαι ἠδυνήθης;

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται, μηδὲ μικρὰ ποιῆσαι δυνάμενοι.

## ΓΑΛΗ.

Γαλῆ εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. Ξυομένης δὲ τῆς γλώττης, αἷμα πολὺ ἐφέρετο. Ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶσσαν ἀνήλωσεν.

Ὁ Μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

ΓΕΩΡ-



## ΓΕΩΡΓΟΣ.

Γεωργός τις σκάπτων, χρυσίῳ περιέτυχε. Καθ' ἑκάστην οὖν τὴν γῆν, ὡς ὑπ' αὐτῆς εὐεργετηθεὶς ἔστεφε. Τῷ δὲ ἡ Τύχη ἐπιστᾶσα, φησίν· ὦ οὗτος, τί τῇ γῇ τὰ ἐμὰ δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; εἰ γὰρ ὁ καιρὸς μεταβάλοι, καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σοι τὸ χρυσίον ἔλθοι, οἶδ' ὅτι τηνικαῦτα μὲ τὴν Τύχην μέμψῃ.

Ὁ Μῦθος δηλοῖ, ὅτι χρὴ τὸν εὐεργέτην ἐπιγινώσκειν, καὶ τούτῳ χάριτας ἀποδιδόναι.

## ΟΔΟΙΠΟΡΟΙ.

Δύο τινὲς κατὰ ταὐτὴν ὡδοιπόρουν, καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν, παρῄνει αὐτὸν, μὴ λέγειν, εὕρηκα, ἀλλ' εὑρήκαμεν. Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος, πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν, ἀπολώλαμεν. Ὁ δὲ εἶπεν ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν· καὶ γὰρ, ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα, ἔλεγες, οὐχ εὑρήκαμεν.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

## ΒΑΤΡΑΧΟΙ.

Δύο Βάτραχοι ἀλλήλοις ἐγειτνίων. Ἐνέμοντο δὲ, ὁ μὲν εἰς ἐν βαθείᾳ, καὶ πόρρω τῆς ὁδοῦ λίμνῃ.

μνῃ· ὁ δὲ ἐν ὁδῷ, μικρὸν ὕδωρ ἔχων. Καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ θατέρῳ παραινοῦντος, πρὸς αὐτὸν μεταβῆναι, ὡς ἂν ἀσφαλεστέρας διαίτης μεταλάβῃ, ἐκεῖνος οὐκ ἐπείθετο, λέγων, δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας, ἕως οὗ συνέβη ἅμαξαν παρελθοῦσαν αὐτὸν συνθλᾶσαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιχειροῦντες, φθάνουσιν ἀπολλύμενοι, πρὶν ἐπὶ τὸ βέλτιον τρέπεσθαι.

## ΜΕΛΙΠΤΟΥΡΓΟΣ.

Εἰς Μελιπτουργεῖον τὶς εἰσελθὼν, τοῦ κεκτημένου ἀπόντος, τὸ κηρίον ἀφείλετο. Ὁ δὲ ἐπανελθὼν, ἐπειδὴ τὰς κυψέλας εἶδεν ἐρήμους, εἱστήκει τὸ κατ' αὐτὰς διερευνώμενος. Αἱ δὲ μέλισσαι ὑπὸ τῆς νομῆς ἐπανήκουσαι, ὡς κατέλαβον αὐτὸν, τοῖς κέντροις ἔπαιον, καὶ τὰ χείριστα διετίθουν. Ὁ δὲ πρὸς αὐτάς· κάκιστα ζῶα, τὸν μὲν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῷον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν πλήττετε;

Ὁ Μῦθος δηλοῖ, ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς δι' ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

## ΑΛΚΥΩΝ.

Ἀλκυὼν ὄρνις ἐστὶ φιλέρημος, ἀεὶ τῇ θαλάττῃ διαιτωμένη. Ταύτην λέγεται τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. Καὶ δήποτε τίκτειν μέλλουσα, ἐνεοττοποιήσατο. Ἐξελθούσης δέ ποτε αὐτῆς

εἰς



εἰς νομὴν, συνέβη τὴν θάλασσαν ὑπὸ λάβρου πνεύματος κυματωθεῖσαν ὑπεραρθῆναι τῆς καλιᾶς, καὶ ταύτην ἐπικλύσασαν, τοὺς νεοττοὺς διαφθεῖραι. Ἡ δὲ ἐπανελθοῦσα, καὶ γνοῦσα τὸ πραχθὲν, εἶπε· δειλαία ἔγωγε, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη, ἐπὶ ταύτην κατέφυγον, ἥ μοι πολλῷ γέγονεν ἀπιστοτέρα!

Ὁ Μῦθος δηλοῖ ὅτι καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺς ἐχθροὺς φυλαττόμενοι λανθάνουσι, πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

## ΑΛΙΕΥΣ.

Ἁλιεὺς ἔν τινι ποταμῷ ἡλίευε. Διατείνας δὲ τὰ δίκτυα, καὶ τὸ ῥεῦμα περιλαβὼν ἑκατέρωθεν, καλωδίῳ προσδήσας λίθον, τὸ ὕδωρ ἔτυπτεν, ὅπως οἱ ἰχθύες φεύγοντες, ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. Τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τὶς θεασάμενος τοῦτο ποιοῦντα, ἐμέμφετο, ὡς τὸν ποταμὸν θολοῦντα, καὶ διειδὲς ὕδωρ μὴ συγχωροῦντα πίνειν. Καὶ ὃς ἀπεκρίνατο· ἀλλ' εἰ μὴ οὕτω ποταμὸς ταράττεται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσιν περιάγωσι.

## ΠΙΘΗΚΟΣ ΚΑΙ ΔΕΛΦΙΣ.

Ἔθους ὄντος τοῖς πλέουσι Μελιταῖα κυνίδια, καὶ Πιθήκους ἐπάγεσθαι πρὸς παραμυθίαν τοῦ πλοῦ, πλέων τις εἶχε σὺν ἑαυτῷ καὶ Πίθηκον.

Γε-

SISMANOGLIO

Γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον τὸ τῆς Ἀττικῆς ἀκρωτήριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. Τῆς δὲ νεὼς περιτραπείσης, καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ Πίθηκος. Δελφὶς δέ τις αὐτὸν θεασάμενος, καὶ ἄνθρωπον εἶναι ὑπολαβών, ἀπελθὼν ἀνεῖχε, διακομίζων ἐπὶ τὴν χέρσον. Ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο, τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ Πιθήκου, εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος. Τοῦ δὲ εἰπόντος, καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπανήρετο, εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. Ὑπολαβὼν δὲ ὁ Πίθηκος περὶ ἀνθρώπου αὐτὸν λέγειν, ἔφη, καὶ μάλα φίλον εἶναι αὐτῷ, καὶ συνήθη. Καὶ ὁ Δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτήσας, βαπτίζων αὐτὸν ἀπέκτεινεν.

Ὁ Μῦθος πρὸς ἄνδρας, οἳ τὴν ἀλήθειαν οὐκ εἰδότες, ἀπατᾶν νομίζουσι.

## ΜΥΙΑΙ.

Ἔν τινι ταμείῳ μέλιτος ἐκχυθέντος, Μυῖαι προσπτᾶσαι κατήσθιον. Ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον. Ἀποπνιγόμεναι δ' ἔλεγον· ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα!

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοῖς ἡ λιχνεία πολλῶν κακῶν αἰτία γίνεται.

## ΕΡΜΗΣ ΚΑΙ ΑΓΑΛΜΑΤΟΠΟΙΟΣ.

Ἑρμῆς γνῶναι βουλόμενος ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστίν, ἧκεν εἰς Ἀγαλματοποιοῦ, ἑαυτὸν εἰ-





κάσας ἀνθρώπῳ, καὶ θεασάμενος Ἄγαλμα τοῦ Διός, ἠρώτα, πόσου τις αὐτὸ πρίασθαι δύναται; Τοῦ δὲ εἰπόντος, δραχμῆς, γελάσας, πόσου τὸ τῆς Ἥρας ἔφη; εἰπόντος δὲ πλείονος, ἰδὼν καὶ τὸ ἑαυτοῦ Ἄγαλμα, καὶ νομίσας, ὡς ἐπειδὴ ἄγγελός ἐστι θεῶν, καὶ κερδῷος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. Ὁ δὲ Ἀγαλματοποιὸς ἔφη· ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοι δίδωμι.

Ὁ Μῦθος πρὸς ἄνδρα κενόδοξον, οὐδεμιᾷ παρὰ ἄλλοις ὄντα τιμῇ.

## ΕΡΜΗΣ ΚΑΙ ΤΕΙΡΕΣΙΑΣ.

Ἑρμῆς βουλόμενος τὴν Τειρεσίου μαντικήν, εἰ ἀληθής ἐστι, γνῶναι, κλέψας τοὺς αὐτοῦ βοῦς ἐξ ἀγροικίας, ἧκεν ὡς αὐτὸν εἰς ἄστυ, ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ παρ' αὐτῷ κατήχθη. Τῆς δὲ τῶν βοῶν ἀπωλείας ἀγγελθείσης τῷ Τειρεσίᾳ, ἐκεῖνος παραλαβὼν τὸν Ἑρμῆν ἐξῆλθεν, οἰωνόν τινα περὶ τοῦ κλέπτου σκεψόμενος, καὶ τούτῳ παρῄνει φράζειν αὐτῷ, ὅντινα ἂν τῶν ὀρνίθων θεάσηται. Ὁ δ' Ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος Ἀετὸν ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ διιπτάμενον, ἔφρασε. Τοῦ δὲ φήσαντος, μὴ πρὸς αὐτοὺς εἶναι τοῦτον· ἐκ δευτέρου Κορώνην εἶδεν ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν ποτὲ δὲ πρὸς τὴν γῆν κατακύπτουσαν, καὶ τῷ μάντει φράζει. Καὶ ὃς ὑποτυχὼν εἶπεν· ἀλλ' αὕτη γε ἡ Κορώνη διόμνυται τόν τε οὐρανόν, καὶ τὴν γῆν, ὡς ἐὰν σὺ θέλῃς, τὰς ἐμὰς ἀπολήψομαι βοῦς.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα κλέπτην.



SISMANOGLIO

## ΚΥΝΕΣ.

Ἔχων τις δύο Κύνας, τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. Καὶ δὴ εἴποτε ὁ θηρευτικὸς ἤγρευέ τι, καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης. Ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ, κἀκεῖνον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν καθ᾽ ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς, εἶπε· μὴ ἐμὲ, ἀλλὰ τὸν δεσπότην μέμφου, ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι, οὐ μεμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

## ΑΝΗΡ ΚΑΙ ΓΥΝΗ.

Ἔχων τις Γυναῖκα πρὸς τοὺς κατ᾽ οἶκον ἅπαντας ἀπεχθῶς ἔχουσαν, ἠβουλήθη γνῶναι, εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας οὕτω διάκειται. Διὸ δὴ καὶ μετ᾽ εὐλόγου προφάσεως πρὸς τὸν αὐτῆς αὐτὴν ἀποστέλλει πατέρα. Μετὰ δ᾽ ὀλίγας ἡμέρας ἐπανελθούσης αὐτῆς ἐπυνθάνετο, πῶς πρὸς τοὺς ἐκεῖ διεγένετο. Τῆς δὲ φαμένης, ὡς οἱ βουκόλοι, καὶ οἱ ποιμένες με ὑπεβλέποντο, πρὸς αὐτὴν ἔφη· ἀλλ᾽ ὦ γύναι, εἰ τούτοις ἀπεχθάνῃ, οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾶν περὶ τούτων, οἷς πᾶσαν συνδιέτριβες τὴν ἡμέραν;

Ὁ Μῦθος δηλοῖ, ὅτι οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα, κἀκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζεται.



SISMANOGLIO



## ΕΡΙΦΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἔριφος ὑστερήσασα τῆς ποίμνης, ὑπὸ Λύκου κατεδιώκετο. Ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν, εἶπεν· ὦ Λύκε ἐπεὶ πέπεισμαι, ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον, ὅπως ὀρχήσωμαι. Τοῦ δὲ Λύκου αὐλοῦντος, καὶ τῆς Ἐρίφου ὀρχουμένης, οἱ κύνες ἀκούσαντες, τὸν Λύκον ἐδίωκον. Ὁ δὲ ἐπιστραφεὶς τῇ Ἐρίφῳ φησί· δικαίως ταῦτά μοι γίνεται· ἔδει γάρ με μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ τῶν μὲν πρὸς ἃ πεφύκασιν ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι, δυστυχίαις περιπίπτουσι.

## ΚΑΡΚΙΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Καρκῖνος ἀπὸ τῆς θαλάσσης ἀναβὰς, ἐπί τινος ἐνέμετο τόπου. Ἀλώπηξ δὲ λιμώττουσα ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι, ἔφη· ἀλλ᾽ ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὢν, χερσαῖος ἠβουλήθην γενέσθαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλιπόντες ἐπιτηδεύματα, καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσι.

## ΚΙΘΑΡΩΔΟΣ.

Κιθαρῳδὸς ἀφυὴς ἐν οἴκῳ κεκονιαμένῳ συνήθως ᾄδων, καὶ ἀντηχούσης αὐτοῦ τῆς φωνῆς, ᾠήθη σφόδρα εὔφωνος εἶναι. Καὶ δὴ ἐπαρθεὶς ἐπὶ τού-

τῳ, ἔγνω δεῖν καὶ θεάτρῳ ἑαυτὸν ἐπιδοῦναι. Ἀφικόμενος δὲ ἐπιδείξασθαι, καὶ κακῶς ᾄδων πάνυ, λίθοις αὐτὸν ἐξώσαντες ἀπήλασαν.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν ταῖς σχολαῖς δοκοῦντες εἶναί τινες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοί εἰσι.

## ΚΛΕΠΤΑΙ.

Κλέπται εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, ὅτι μὴ Ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες, ἀπήεσαν. Ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι, ἐδεῖτο, ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων, χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νύκτωρ αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δὲ ἔφασαν· ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

Ὁ Μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα.

## ΚΟΡΩΝΗ ΚΑΙ ΚΟΡΑΞ.

Κορώνη φθονήσασα Κόρακι, ἐπὶ τῷ δι' οἰωνῶν τοῖς ἀνθρώποις μαντεύεσθαι, καὶ διὰ τοῦτο μαρτυρουμένῳ, ὡς προλέγοντι τὸ μέλλον, θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον, καὶ στᾶσα, μεγάλως ἔκραξε. Τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων, καὶ καταπλαγέντων, ὑποτυχών τις ἔφη· ἀπίωμεν ὦ οὗτοι· Κορώνη γάρ ἐστιν, ἥτις κέκραγε, καὶ οἰωνισμὸν οὐκ ἔχει.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἁμιλλώμενοι, πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι, καὶ γέλωτα ὀφλισκάνουσι.

ΚΟ-



## ΚΟΡΩΝΗ ΚΑΙ ΚΥΩΝ.

Κορώνη Ἀθηνᾷ θύουσα, Κύνα ἐπὶ ἑστίασιν ἐκάλει· ὁ δὲ πρὸς αὐτὴν ἔφη· τί μάτην τὰς θυσίας ἀναλίσκεις, ἡ γὰρ θεὸς οὕτω σε μισεῖ, ὡς καὶ τῶν συντρόφων σοι οἰωνῶν τὴν πίστιν περιελεῖν. Καὶ ἡ Κορώνη πρὸς αὐτόν· διὰ τοῦτο μᾶλλον αὐτῇ θύω, ἵνα διαλλαγῇ μοι.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλοὶ διὰ κέρδος τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσι.

## ΚΟΡΑΞ ΚΑΙ ΟΦΙΣ.

Κόραξ τροφῆς ἀπορῶν, ὡς κατεῖδεν ἔν τινι εὐηλίῳ τόπῳ Ὄφιν κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. Τοῦ δὲ ἐπιστραφέντος, καὶ δακόντος αὐτόν, ἀποθνήσκειν μέλλων εἴρηκε· δείλαιος ἔγωγε, ὃς τοιοῦτον εὗρον ἕρμαιον, ἐξ οὗ καὶ ἀπόλλυμαι.

Ὁ Μῦθος πρὸς ἄνδρα, διὰ θησαυρῶν εὕρεσιν ἐπὶ σωτηρίᾳ κινδυνεύσαντα.

## ΚΟΛΟΙΟΣ ΚΑΙ ΠΕΡΙΣΤΕΡΑΙ.

Κολοιὸς ἔν τινι περιστερῶνι Περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δέ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο. Ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλασαν παίουσαι. Καὶ ὃς ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς, ἐπανῆκε πρὸς τοὺς Κολοιοὺς πάλιν, κἀκεῖνοι



διὰ

διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μετ' αὐτῶν διαίτης ἀπεῖρξαν· ὥστε δυοῖν ἐπιθυμήσαντα, μηδετέρας τυχεῖν.

Ὁ Μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους, ὅτι ἡ πλεονεξία πρὸς τῷ μηδὲν ὠφελεῖν, ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

## ΚΟΛΟΙΟΣ.

Κολοιόν τις συλλαβὼν, καὶ δήσας αὐτοῦ τὸν πόδα λίνῳ, τῷ ἑαυτοῦ παρέδωκε παιδί. Ὁ δὲ μὴ ὑπομείνας τὴν μετ' ἀνθρώπων δίαιταν, ὡς πρὸς ὀλίγον ἀδείας ἔτυχε, φυγὼν, ἧκεν εἰς τὴν ἑαυτοῦ καλιάν. Περιειληθέντος δὲ τοῦ δεσμοῦ τοῖς κλάδοις, ἀποπτῆναι μὴ δυνάμενος, ἐπειδὴ ἀποθνήσκειν ἔμελλε, πρὸς ἑαυτὸν ἔφη· δείλαιος ἔγωγε, ὃς τὴν παρ' ἀνθρώποις μὴ ὑπομείνας δουλείαν, ἔλαθον ἐμαυτὸν τῆς ζωῆς στερήσας.

Ὁ Μῦθος δηλοῖ, ὅτι τινὲς ἔσθ' ὅτε μετρίων κινδύνων ἑαυτοὺς βουλόμενοι ῥύσασθαι, εἰς μείζους περιπίπτουσι.

## ΕΡΜΗΣ.

Ζεὺς Ἑρμῇ προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον ἐγχεῖν. Ὁ δὲ τοῦτο τρίψας, καὶ μέτρον ποιήσας, ἴσον ἑκάστῳ ἐνέχεεν. Ἐπεὶ δὲ, μόνου τοῦ Σκυτέως ὑπολειφθέντος, πολὺ κατελέλειπτο φάρμακον, ὅλην λαβὼν τὴν θυείαν, ἐνέχεεν αὐτῷ. Κἀκ τούτου συνέβη, τοὺς τεχνίτας ἅπαντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς Σκυτέας.

Ὁ Μῦθος πρὸς ψευδολόγους τεχνίτας.

ΖΕΥΣ.



## ΖΕΥΣ.

Ζεὺς πλάσας τοὺς ἀνθρώπους, τὰς μὲν ἄλλας διαθέσεις αὐτοῖς ἐνέθηκε, μόνην δ' ἐνθεῖναι τὴν αἰσχύνην ἐπελάθετο. Διὸ καὶ μὴ ἔχων πόθεν αὖ αὐτὴν εἰσαγάγῃ, διὰ τοῦ ὄχλου αὐτὴν εἰσελθεῖν ἐκέλευσεν. Ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγεν, ἀναξιοπαθοῦσα. Ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη· ἀλλ' ἔγωγε ἐπὶ ταύταις εἰσέρχομαι ταῖς ὁμολογίαις, ὡς ἂν ἔρως μὴ εἰσέλθῃ· ἂν δ' εἰσέλθῃ, αὐτὴ ἐξελεύσομαι παραυτίκα. Ἀπὸ δὴ τούτου συνέβη, πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Ὁ Μῦθος δηλοῖ, ὅτι τοὺς ὑπ' ἔρωτος κατεχομένους, ἀναισχύντους εἶναι συμβαίνει.

## ΖΕΥΣ.

Ζεὺς γάμους τελῶν, πάντα τὰ ζῶα εἱστία. Μόνης δὲ τῆς Χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως ἐπυνθάνετο, τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο; Τῆς δὲ εἰπούσης, οἶκος φίλος, οἶκος ἄριστος· ἀγανακτήσας κατ' αὐτῆς, κατεδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς παρ' ἑαυτοῖς ζῆν, ἢ παρ' ἄλλοις πολυτελῶς.

## ΛΥΚΟΣ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.

Λύκος ὑπὸ Κυνῶν δηχθεὶς, καὶ κακῶς πάσχων, ἐβέβλητο. Τροφῆς δὲ ἀπορῶν, θεασάμενος Πρό-

βατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραῤῥέοντος αὐτοῦ ποταμοῦ κομίσαι· εἰ γὰρ σύ μοι, φησὶ, δώσεις ποτὸν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω. Τὸ δὲ ὑποτυχὸν, ἔφη· ἀλλ' ἐὰν ἐγὼ ποτὸν ἐπιδῶσοι, σὺ καὶ τροφῇ μοι χρήσῃ.

Ὁ Μῦθος πρὸς ἄνδρα κακοῦργον, δι' ὑποκείσεως ἐνεδρεύοντα.

## ΛΑΓΩΟΙ.

Λάγωοί ποτε πολεμοῦντες Ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν Ἀλώπεκας. Αἱ δὲ ἔφασαν· ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ οἴδειμεν, τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κρείττοσι φιλονεικοῦντες, τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

## ΜΥΡΜΗΞ.

Μύρμηξ ὁ νῦν, τὸ παλαιὸν ἄνθρωπος ἦν, καὶ τῇ γεωργίᾳ διηνεκῶς προσέχων, οὐ τοῖς ἰδίοις ἠρκεῖτο πόνοις, ἀλλὰ καὶ τοὺς τῶν γειτόνων καρποὺς ὑφῃρεῖτο. Ὁ δὲ Ζεὺς ἀγανακτήσας ἐπὶ τῇ τούτου πλεονεξίᾳ, μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ Μύρμηξ καλεῖται. Ὁ δὲ τὴν μορφὴν ἀλλάξας, τὴν διάθεσιν οὐ μετέβαλε. Μέχρι γὰρ τοῦ νῦν τὰς ἀρούρας περιιὼν, τοὺς τῶν ἑτέρων πόνους συλλέγει, καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ, κἂν τὰ μάλιστα τὸ εἶδος μεταβληθῶσι, τὸν τρόπον οὐ μεταβάλλονται.



SISMANOGLIO



## ΝΥΚΤΕΡΙΣ ΚΑΙ ΓΑΛΗ.

Νυκτερὶς ἐπὶ γῆς πεσοῦσα, ὑπὸ Γαλῆς συνελήφθη, καὶ μέλλουσα ἀναιρεῖσθαι, περὶ σωτηρίας ἐδεῖτο. Τῆς δὲ φαμένης, μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι, φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν, αὐτὴ ἔλεγεν, οὐκ ὄρνις, ἀλλὰ μῦς εἶναι, καὶ οὕτως ἀφέθη. Ὕστερον δὲ πάλιν πεσοῦσα, καὶ ὑφ' ἑτέρας συλληφθεῖσα Γαλῆς, μὴ βρωθῆναι ἐδεῖτο. Τῆς δὲ εἰπούσης ἅπασιν ἐχθραίνειν μυσὶν, αὐτὴ μὴ μῦς, ἀλλὰ Νυκτερὶς ἔλεγεν εἶναι, καὶ πάλιν ἀπελύθη. Καὶ οὕτω συνέβη, δὶς αὐτὴν ἀλλαξαμένην τὸ ὄνομα, σωτηρίας τυχεῖν.

Ὁ Μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἐπιμένειν, λογιζομένους, ὡς οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι, πολλάκις τοὺς κινδύνους ἐκφεύγουσιν.

## ΟΔΟΙΠΟΡΟΙ.

Ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντες, ἦλθον ἐπί τινα σκοπιὰν, κἀκεῖθεν θεασάμενοι φρύγανα πόῤῥωθεν ἐπιπλέοντα, ναῦν εἶναι μεγάλην ᾠήθησαν· διὸ δὴ προσέμενον, ὡς μελλούσης αὐτῆς προσορμίζεσθαι. Ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα, ἐγγυτέρω ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδόκουν βλέπειν. Ἐξενεχθέντα δ' αὐτὰ, φρύγανα ὄντα ἰδόντες, πρὸς ἀλλήλους ἔφασαν, ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προσεδεχόμεθα;

Ὁ Μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.

## ΟΝΟΣ ΑΓΡΙΟΣ.

Ὄνος ἄγριος Ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν ἐπί τε τῇ εὐεξίᾳ τοῦ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν Ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη· ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γάρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων, καὶ ταλαιπωριῶν κέρδη.

## ΟΝΟΙ.

Ὄνοι ποτὲ ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν, καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τῶν πόνων αἰτούμενοι. Ὁ δ' αὐτοῖς ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη· τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποιήσωσι ποταμόν. Κἀκεῖνοι αὐτὸν ἀληθεύειν ὑπολαβόντες, ἀπ' ἐκείνου καὶ μέχρι τοῦ νῦν ἔνθα οὖρον ἑτέρων ἴδωσιν Ὄνων, ἐνταῦθα καὶ αὐτοὶ περιϊστάμενοι οὐροῦσιν.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἑκάστῳ τὸ πεπρωμένον ἀθεράπευτόν ἐστιν.

## ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ὄνος ἐνδυσάμενος λεοντῆν, περιῄει, τὰ ἄλλα τῶν ζώων ἐκφοβῶν. Καὶ δὴ θεασάμενος Ἀλώπεκα, ἐπει-

ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δὲ (ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκοῦια) πρὸς αὐτὸν ἔφη· ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων τοῖς ἔξω δοκοῦντες τινὲς εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.



## ΟΝΟΣ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Ὄνος ξύλα βαστάζων, διέβαινέ τινα λίμνην. Ὀλισθήσας δέ, ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος, ὠδύρετό τε, καὶ ἔστενεν. Οἱ δὲ ἐν τῇ λίμνῃ Βάτραχοι τῶν στεναγμῶν τούτου ἀκούσαντες, ὦ οὗτος, ἔφασαν, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν οὕτως ὀδύρῃ;

Τούτῳ τῷ λόγῳ χρήσαιτ' ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον, ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείους ῥᾳδίως ὑφιστάμενος.

## ΟΝΟΣ ΚΑΙ ΚΟΡΑΞ.

Ὄνος ἡλκωμένος τὸν νῶτον, ἔν τινι λειμῶνι ἐνέμετο. Κόρακος δ' ἐπικαθίσαντος αὐτῷ, καὶ τὸ ἕλκος ξαίνοντος, ὁ Ὄνος ὠγκᾶτο, καὶ ἥλλατο. Τοῦ δὲ ὀνηλάτου πόρρωθεν ἱσταμένου, καὶ γελῶντος, Λύκος παριὼν αὐτὸν εἶδε, καὶ ἔφη· ἄθλιοι ἡμεῖς, οἳ καὶ μόνον ὀφθῶμεν αὐτῷ, διωκόμεθα, τούτῳ δὲ καὶ προσγελῶσι.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων, καὶ μόνον φανέντες, δηλοί εἰσι.



SISMANOGLIO

## ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ὄνος, καὶ Ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους, ἐξῆλθον εἰς ἄγραν. Λέοντος δὲ αὐτοῖς περιτυχόντος, ἡ Ἀλώπηξ τὸν ἐπηρτημένον ὁρῶσα κίνδυνον, προσελθοῦσα τῷ Λέοντι, παραδώσειν αὐτῷ τὸν Ὄνον ὑπέσχετο, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. Τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος, ἐκείνη παραγαγοῦσα τὸν ὄνον εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. Καὶ ὁ Λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρώτην τὴν Ἀλώπεκα συνέλαβεν, εἶθ' οὕτως ἐπὶ τὸν Ὄνον ἐτράπη.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες, λανθάνουσι πολλάκις καὶ αὑτοὺς προσαπολλῦντες.

## ΟΡΝΙΣ ΚΑΙ ΧΕΛΙΔΩΝ.

Ὄρνις ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. Χελιδὼν δὲ θεασαμένη αὐτὴν, ἔφη· ὦ ματαία, τί ταῦτα τρέφεις, ἅπερ αὐξηθέντα, ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται;

Ὁ Μῦθος δηλοῖ, ὅτι ἀτιθάσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

## ΚΑΜΗΛΟΣ.

Ὅτε πρῶτον Κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες, καὶ τὸ μέγεθος καταπλαγέντες, ἔφευγον. Ὡς δὲ χρόνου προϊόντος, συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάρρησαν μέχρι τοῦ προσελθεῖν. Αἰσθόμενοι δὲ κα-

κα-



κατὰ μικρὸν τὸ ζῶον, ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥστε καὶ χαλινοὺς αὐτῇ περιθέντες, παισὶν ἐλαύνειν δεδώκασι.

Ὁ Μῦθος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια εὐκαταφρόνητα ποιεῖ.

## ΟΦΙΣ.

Ὄφις ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος, τῷ Διῒ ἐνετύγχανεν. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιστάμενοι, τοῖς ἄλλοις φοβεροὶ γίνονται.

## ΠΕΡΙΣΤΕΡΑ.

Περιστερὰ δίψῃ συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι τόπῳ κρατῆρα ὕδατος γεγραμμένον, ἐνόμισεν ἀληθινὸν εἶναι· διὸ καὶ πολλῷ τῷ ῥοίζῳ ἐνεχθεῖσα, ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα, ὡς καὶ τῶν πτερῶν αὐτῆς περικλασθέντων, καταπεσεῖν ἐπὶ γῆν, καὶ ὑπό τινος τῶν παρατυχόντων ἁλῶναι.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρᾶς προθυμίας ἀπερισκέπτως τοῖς πράγμασιν ἐγχειροῦντες, ἐμβάλλουσιν ἑαυτοὺς εἰς ὄλεθρον.

## ΠΕΡΙΣΤΕΡΑ ΚΑΙ ΚΟΡΩΝΗ.

Περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη, ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. Κορώνη δ' αὐτῆς ἀκούσασα,

ἔφη·

SISMANOGLIO

ἔφη· ἀλλ' ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ σεμνυνομένη· ὅσῳ γὰρ ἂν πλείονα τίκτῃς, τοσούτῳ καὶ πλείους λύπας συνάγεις.

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ πολλὰ τέκνα ποιοῦσι.

## ΠΛΟΥΣΙΟΣ.

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς μιᾶς ἀποθανούσης, θρηνούσας ἐμισθώσατο. Τῆς δὲ ἑτέρας παιδὸς λεγούσης, ὡς ἄθλιαι ἡμεῖς, αἵγε αὐταὶ, ὧν ἐστι τὸ πένθος, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μὴ προσήκουσαι οὕτω σφοδρῶς κόπτονται· ἡ Μήτηρ ἔφη· μὴ θαύμαζε τέκνον, εἰ αὗται οὕτω θρηνοῦσιν, ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσι.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

## ΠΟΙΜΗΝ.

Ποιμὴν ἐλάσας εἴς τινα δρυμῶνα τὰ πρόβατα, ὑποστρώσας ὑπὸ δρῦν τὸ ἱμάτιον, καὶ ἀναβὰς, τὸν καρπὸν κατέσειε. Τὰ δὲ πρόβατα ἐσθίοντα τὰς βαλάνους, ἔλαθον καὶ τὰ ἱμάτια συγκαταφαγόντα. Ὁ δὲ Ποιμὴν καταβὰς, ὡς εἶδε τὸ γεγονὸς, ὦ κάκιστα, ἔφη, ζῶα! ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρέχετε, ἐμοῦ δὲ τρέφοντος ὑμᾶς καὶ τὸ ἱμάτιον ἀφείλεσθε;

Ὁ Μῦθος δηλοῖ, ὅτι καὶ πολλοὶ τῶν ἀνθρώπων δι' ἄνοιαν, τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες, κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

ΑΛΙ-



## ΑΛΙΕΥΣ ΚΑΙ ΣΜΑΡΙΣ.

Ἁλιεὺς τὸ δίκτυον χαλάσας ἐν τῇ θαλάττῃ, ἀνήνεγκε Σμαρίδα. Σμικρὰ δὲ οὖσα, ἱκέτευεν αὐτὸν, νῦν μὲν μὴ λαβεῖν αὐτὴν, ἀλλ' ἐᾶσαι, διὰ τὸ σμικρὰν τυγχάνειν. Ἀλλ' ὅταν αὐξηθῶ, καὶ μεγάλη, φησὶ, γένωμαι, συλλαβεῖν με δυνήσῃ, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν ἔσομαι. Καὶ ὁ Ἁλιεὺς εἶπεν· ἀλλ' ἔγωγε ἄνους ἂν εἴην, εἰ τὸ ἐν χερσὶ παρεὶς κέρδος, κἂν σμικρὸν ᾖ, τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχῃ, ἐλπίζοιμι.

Ὁ Μῦθος δηλοῖ, ὅτι ἀλόγιστος ἂν εἴη, ὁ δι' ἐλπίδα μείζονος, τὰ ἐν χερσὶν ἀφεὶς σμικρὰ ὄντα.

## ΙΠΠΟΣ ΚΑΙ ΟΝΟΣ.

Ἄνθρωπός τις εἶχεν Ἵππον, καὶ Ὄνον. Ὁδευόντων δὲ ἐν τῇ ὁδῷ, εἶπεν ὁ Ὄνος τῷ Ἵππῳ· ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶον. Ὁ δὲ οὐκ ἐπείσθη. Ὁ δὲ Ὄνος πεσὼν, ἐκ τοῦ κόπου ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ, καὶ αὐτὴν τὴν Ὄνου δορὰν, θρηνῶν ὁ Ἵππος ἐβόα· οἴμοι τῷ παναθλίῳ! τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.

Ὁ Μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, ἀμφότεροι σωθήσονται ἐν βίῳ.

ΑΝ-

## ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΣΑΤΥΡΟΣ.

Ἄνθρωπός τις πρὸς Σάτυρον φιλίαν ποιησάμενος, συνεσθίων ἦν αὐτῷ. Χειμῶνος δὲ, καὶ ψύχους γενομένου, ὁ ἄνθρωπος τὰς χεῖρας αὐτοῦ προσφέρων τῷ στόματι ἀπέπνει. Τοῦ δὲ Σατύρου ἐπερωτήσαντος, δι᾽ ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· τὰς χεῖράς μου θερμαίνω ἐκ τοῦ κρύους. Μετὰ μικρὸν δὲ ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος προσφέρων τῷ στόματι, ἐφύσα αὐτό. Πυνθανομένου δὲ πάλιν, δι᾽ ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· τὸ ἔδεσμα καταψύχω. Ὑπολαβὼν δὲ ὁ Σάτυρος, ἀλλ᾽ ἔγωγε, ἔφη, ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῆς φιλίας, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν, καὶ τὸ ψυχρὸν ἐξάγεις.

Ὁ Μῦθος δηλοῖ, ὅτι δεῖ φεύγειν ἡμᾶς τὰς φιλίας, ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

## ΑΛΩΠΗΞ ΚΑΙ ΔΡΥΟΤΟΜΟΣ.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα, καὶ ἐν ἐρημίᾳ πολὺν δρόμον ἀνύουσα, ἄνδρα Δρυοτόμον εὑρίσκει ἐν ταύτῃ, ὃν καθικέτευε τοῦ κρύψαι αὐτήν. Τοῦ δὲ ὑποδείξαντος αὐτῇ τὴν ἑαυτοῦ καλύβην, εἰσελθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας. Τῶν δὲ κυνηγετῶν ἐλθόντων, καὶ ἐρωτώντων τὸν ἄνδρα, οὗτος τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι, τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυ. Οἱ δὲ μὴ προσχόντες, ἀπῆλθον παραχρῆμα. Ὡς οὖν εἶδεν αὐτοὺς ἡ Ἀλώπηξ παρελθόντας, ἐξῆλθεν οὐ προσφωνοῦσα. Μεμφομένου δὲ αὐτὴν ἐκείνου, ὡς σωθεῖσαν μὲν δι᾽ αὐτοῦ, χάριτας

δὲ

SISMANOGLIO



δὲ αὐτῷ οὐχ ὁμολογοῦσαν, ἡ Ἀλώπηξ ἐπιστραφεῖσα, ἔφη· ὦ οὗτος, ἀλλ᾽ ἔγωγε ᾔδειν ἄν σοι χάριτας, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς, καὶ τοὺς τρόπους εἶχες.

Ὁ Μῦθος πρὸς τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους τοῖς λόγοις, ἐναντία δὲ ποιοῦντας τοῖς ἔργοις.

## ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΑΓΑΛΜΑ.

Ἄνθρωπός τις ξύλινον ἔχων Θεὸν, καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. Ὡς οὖν ταῦτα ἔπραττε, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔρριψεν εἰς τὸ ἔδαφος. Προσκρουσάσης οὖν τῆς κεφαλῆς, καὶ αὐτίκα κλασθείσης, χρυσὸς ἐρρύησεν ὅτι πλεῖστος, ὅνπερ δὴ συνάγων ὁ ἄνθρωπος ἐβόα· στρεβλὸς ὑπάρχεις, ὥς γε οἶμαι, καὶ ἀγνώμων· τιμῶντά σε γὰρ ἥκιστά με ὠφέλησας, τυπτήσαντα δέ σε, πολλοῖς καλοῖς ἀμείβῃ.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον, τύπτων δὲ αὐτὸν, μᾶλλον ὠφελήσῃ.

## ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΚΥΩΝ.

Ἄνθρωπός τις ἡτοίμαζε δεῖπνον, ἑστιάσων τινὰ τῶν φίλων αὐτοῦ, καὶ οἰκείων. Ὁ δὲ Κύων αὐτοῦ ἄλλον Κύνα ἐκάλει, λέγων· ὦ φίλε, δεῦρο συνδείπνησόν μοι. Ὁ δὲ προσελθὼν, χαίρων ἵστατο, βλέπων τὸν μέγαν δεῖπνον, καὶ βοῶν ἐν τῇ καρδίᾳ· βαβαὶ, πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη· τραφήσομαί τε γὰρ, καὶ εἰς κόρον δειπνήσω, ὥστε με αὔριον μηδαμῶς γε πεινᾶσαι. Ταῦτα καθ᾽ ἑαυτὸν λέγοντος τοῦ Κυνὸς, καὶ ἅμα σείοντος τὴν κέρ-

κον,

κον, ὡς δὴ εἰς τὸν φίλον θαῤῥοῦντος, ὁ μάγειρος ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, κατασχὼν τὰ σκέλη αὐτοῦ ἔῤῥιψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. Ὁ δὲ κατιὼν, ἀπῄει μεγάλως κράζων. Τῶν δὲ Κυνῶν τις τῶν καθ' ὁδὸν αὐτῷ συναντῶν, ἐπηρώτα, πῶς ἐδείπνησας φίλε; Ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη· ἐκ τῆς πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον, οὐδὲ τὴν ὁδὸν αὐτὴν, ὅθεν ἐξῆλθον, οἶδα.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς ἐξ ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

## ΑΛΙΕΥΣ.

Ἁλιεὺς ἁλιευτικῆς ἄπειρος, λαβὼν αὐλοὺς, καὶ δίκτυα, παρεγένετο εἰς τὴν θάλασσαν· καὶ στὰς ἐπί τινος πέτρας, τὸ μὲν πρῶτον ηὔλει, νομίζων πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐφάλλεσθαι. Ὡς δ' ἐπὶ πολὺ διατεινόμενος ἤνυεν οὐδὲν, ἀποθέμενος τοὺς αὐλοὺς, ἀναλαμβάνει τὸ ἀμφίβληστρον, καὶ βαλὼν κατὰ τοῦ ὕδατος, πολλοὺς ἰχθύας ἤγρευσεν. Ἐκβαλὼν δὲ αὐτοὺς ἀπὸ τοῦ δικτύου, ὡς εἶδε πηδῶντας, ἔφη· ὦ κάκιστα ζῶα, ὅτε ηὔλουν, οὐκ ὠρχεῖσθε, ὅτε δὲ πέπαυμαι, τοῦτο ποιεῖτε;

Ὁ Μῦθος πρὸς τοὺς παρὰ λόγον, καὶ παρὰ καιρόν τι πράττοντας.

## ΒΟΥΚΟΛΟΣ.

Βουκόλος ἀγέλην ταύρων βόσκων, ἀπώλεσε μόσχον· περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον, διέτριβεν ἐρευνῶν· Ὡς δὲ οὐδὲν εὑρεῖν ἐδυνήθη, ηὔξατο τῷ

Διῒ,



Διῒ, ἂν τὸν λαβόντα μόσχον κλέπτην ὑποδείξῃ, ἔριφον εἰς θυσίαν προσάξειν. Καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα, εὑρίσκει Λέοντα κατεσθίοντα τὸν μόσχον. Ἔμφοβος οὖν γενόμενος, καὶ μέγα δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν· ὦ δέσποτα Ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον θύσειν, ἐὰν τὸν κλέπτην εὕρω, νῦν ταῦρόν σοι θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω.

Ὁ Μῦθος πρὸς ἄνδρας δυστυχεῖς, οἵτινες ἀποροῦντες μὲν, εὔχονται εὑρεῖν· εὑρόντες δὲ, ζητοῦσιν ἀποφυγεῖν.

## ΚΟΡΑΞ.

Κόραξ νοσῶν ἔφη τῇ μητρί· μῆτερ εὔχου τῷ Θεῷ, καὶ μὴ θρήνει. Ἡ δ' ὑπολαβοῦσα ἔφη· τίς σε ὦ τέκνον τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη;

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες, οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσι.

## ΑΕΤΟΣ.

Ὑπεράνωθεν πέτρας Ἀετὸς ἐκαθέζετο, Λαγωὸν θηρεῦσαι ζητῶν. Τοῦτον δέ τις ἔβαλε τοξεύσας· καὶ τὸ μὲν βέλος ἐντὸς αὐτοῦ εἰσῆλθεν· ἡ δὲ γλυφὶς σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. Ὁ δὲ ἰδὼν ἔφη· καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνήσκειν.

Ὁ Μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν, ὅταντις ἐκ τῶν ἰδίων κινδυνεύσῃ.

ΤΕΤ-

## ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΚΕΣ.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων, οἱ Μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων, ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ Μύρμηκες· εἶπον· διατί τὸ θέρος οὐ συνῆγες τροφήν; Ὁ δὲ εἶπεν, οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. Οἱ δὲ γελάσαντες εἶπον· ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ, καὶ κινδυνεύσῃ.

## ΣΚΩΛΗΞ ΚΑΙ ΑΛΩΠΗΞ.

Ὁ τῷ πηλῷ κρυπτόμενος Σκώληξ, εἰς γῆν ἐξελθὼν, ἔλεγε πᾶσι τοῖς ζώοις· ἰατρός εἰμι φαρμάκων ἐπισήμων, οἷός ἐστιν ὁ τῶν θεῶν ἰατρὸς Παίων. Καὶ πῶς, εἶπεν Ἀλώπηξ, ἄλλους ἰώμενος, σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;

Ὁ Μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ πεῖρα, λόγος ἀργὸς ὑπάρχει.

## ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.

Ὄρνιθά τις εἶχεν ᾠὰ χρυσᾶ τίκτουσαν, καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

Ὁ Μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.



SISMANOGLIO



## ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων γηράσας, καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν, ἔγνω δι' ἐπινοίας τι πρᾶξαι. Καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ, καὶ κατακλιθεὶς, προσεποιεῖτο νοσεῖν. Παραγενόμενα οὖν τὰ ζῶα ἐπισκέψεως χάριν, συλλαμβάνων κατήσθιεν αὐτά. Πολλῶν οὖν ζώων ἀναλωθέντων, Ἀλώπηξ τὸ τέχνασμα τοῦτο γνοῦσα, παρεγένετο πρὸς αὐτὸν, καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου ἐπυνθάνετο, πῶς ἔχει. Τοῦ δὲ εἰπόντος, κακῶς, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν οὐκ εἰσέρχεται, ἡ Ἀλώπηξ ἔφη· ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων, ὀλίγων δὲ ἐξιόντων.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους, ἐκφεύγουσι.

## ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.

Λύκος λιμώττων περιῄει ζητῶν τροφήν. Γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος, καὶ Γραὸς λεγούσης αὐτῷ· παῦσαι τοῦ κλαίειν, εἰ δὲ μὴ τῇ ὥρᾳ ταύτῃ ἐπιδώσωσε τῷ Λύκῳ. Οἰόμενος δὴ ὁ Λύκος, ὅτι ἀληθεύει ἡ Γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. Ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς Γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ· ἐὰν ἔλθῃ ὁ Λύκος δεῦρο, φονεύσομεν ὦ τέκνον αὐτόν. Ταῦτα ἀκούσας ὁ Λύκος, ἐπορεύετο λέγων· ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

Ὁ Μῦθος πρὸς ἀνθρώπους, οἵτινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

## ΕΡΙΦΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἔριφος ἐπί τινος δώματος ἑςὼς, ἐπειδὴ Λύκον παριόντα εἶδεν, ἐλοιδόρει, ϗ ἔσκωπτεν αὐτόν. Ὁ δὲ Λύκος ἔφη· ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

Ὁ Μῦθος δηλοῖ, ὅτι πολλάκις ϗ ὁ τόπος, ϗ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

## ΗΜΙΟΝΟΣ.

Ἡμίονος ἐκ κριθῆς παχυνθεὶς, ἀνεσκίρτησε βοῶν, ϗ λέγων· πατήρ μου ἐςὶν ἵππος ὁ ταχυδρόμος, κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην. Καί ποτε ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθη.

Ὁ Μῦθος δηλοῖ, ὅτι κἂν ὁ χρόνος εἰς δόξαν φέρῃ τινὰ, τῆς ἑαυτοῦ γεμλὲ τύχης μὴ ἐπιλανθανέσθω· ἀβέβαιος γάρ ἐςιν ὁ Βίος οὗτος.

## ΟΦΙΣ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Ὄφις ἐν Γεωργοῦ προθύροις φωλεύων, ἀνεῖλεν αὐτοῦ τὸ νήπιον παιδίον· πένθος δὲ τοῖς γονεῦσιν ἐγένετο μέγα. Ὁ δὲ πατὴρ ὑπὸ τῆς λύπης πέλεκυν λαβὼν, ἔμελλε τὸν Ὄφιν ἐξελθόντα φονεύσειν. Ὡς δὲ ἔκυψε μικρὸν, σπεύσας ὁ Γεωργὸς τοῦ πατάξαι αὐτὸν, ἠςόχησε, μόνον κρούσας τὴν τῆς τρώγλης ὀπήν. Ἀπελθόντος δὲ τοῦ Ὄφεως, ὁ Γεωργὸς νομίσας τὸν Ὄφιν μηκέτι μνησικακεῖν, λαβὼν ἄρτον, καὶ ἅλας, ἔθηκεν ἐν τῇ τρώγλῃ. Ὁ δὲ ὄφις λεπτὸν συρίξας, εἶπεν· οὐκ ἔςαι ἡμῖν

SISMANOGLIO



μῖν ἀπάρτι πίςις, ἢ φιλία, ἕως ἂν ἐγὼ τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τύμβον τοῦ τέκνου.

Ὁ Μῦθος δηλοῖ, ὅτι οὐδεὶς μίσους, ἢ ἀμύνης ἐπιλανθάνεται, ἐφ' ὅσον βλέπει μνημόσυνον, δι' οὗ ἐλυπήθη.

## ΣΑΛΠΙΓΚΤΗΣ.

Σαλπιγκτὴς ςρατὸν ἐπισυνάγων, καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων, ἐβόα· μὴ κτείνετέ με ὦ ἄνδρες εἰκῆ, ϗ μάτην· οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλκοῦ τούτου, οὐδὲν ἄλλο κτῶμαι. Οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.

Ὁ Μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς, ϗ βαρεῖς δυνάςας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

## ΚΑΛΑΜΟΣ ΚΑΙ ΕΛΑΙΑ.

Διὰ καρτερίαν, ϗ ἰσχὺν, ϗ ἡσυχίαν, Κάλαμος, ϗ Ἐλαία ἤριζον. Τοῦ δὲ Καλάμου ὀνειδιζομένου ὑπὸ τῆς Ἐλαίας ὡς ἀδυνάτου, ϗ ῥᾳδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ Κάλαμος σιωπῶν ἐκ ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρὸς, ὁ μὲν Κάλαμος ὑποσεισθεὶς, ϗ ὑποκλιθεὶς τοῖς ἀνέμοις, ῥᾳδίως διεσώθη, ἡ δ' Ἐλαία, ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

Ὁ Μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ, καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιςάμενοι, κρείττους εἰσὶ τῶν πρὸς μείζονας φιλονεικούντων.

## ΛΥΚΟΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Λύκου λαιμῷ ὀστέον ἐπεπήγει, ὁ δὲ Γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. Ἡ δὲ τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. Ὅστις γελάσας, καὶ τοὺς ὀδόντας θήξας, ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο καὶ μόνον, ὅτι ἐκ Λύκου στόματος, καὶ ὀδόντων, ἐξῆρες κάραν σῶαν, καὶ μηδὲν παθοῦσαν.

Ὁ Μῦθος πρὸς ἄνδρας, οἵτινες ὑπὸ κινδύνου διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

## ΑΛΕΚΤΟΡΕΣ.

Ἀλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων, ὁ εἷς τὸν ἕτερον κατετροπώσατο. Καὶ ὁ μὲν ἡττηθεὶς εἰς τόπον κατάσκιον ἀπιὼν, ἐκρύβη. Ὁ δὲ νικήσας, εἰς ὕψος ἀρθεὶς, καὶ ἐφ' ὑψηλοῦ τοίχου στὰς, μεγαλοφώνως ἐβόησε, καὶ παρευθὺς Ἀετὸς καταπτὰς, ἥρπασεν αὐτόν. Ὁ δ' ἐν σκότει κεκρυμμένος, ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινε.

Ὁ Μῦθος δηλοῖ, ὅτι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

## ΓΕΡΩΝ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Γέρων, ποτὲ ξύλα κόψας, καὶ ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε, καὶ διὰ τὸν πολὺν κόπον, ἀποθέμενος ἐν τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐπε-

πε-

SISMANOGLIO MEGARO



πεκαλεῖτο. Τοῦ δὲ θανάτου παριόντος, καὶ πυνθανομένου τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη. ἵνα μου τὸν φόρτον ἄρης.

Ὁ Μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος, εἰ καὶ δυστυχεῖ, καὶ πτωχὸς ἐστι.

## ΒΑΤΡΑΧΟΙ.

Βάτραχοι δύο, ξηρανθείσης τῆς λίμνης, ἐν ᾗ κατῴκουν, περιήεσαν ζητοῦντες ποῦ καταμεῖναι. Καὶ ἐλθόντες εἰς φρέαρ βαθὺ, καὶ κύψαντες κάτω, καὶ ἰδόντες τὸ ὕδωρ, ὁ μὲν εἷς συνεβούλευεν, ἵνα πηδήσωσι παρευθὺς κάτω· ὁ δ' ἕτερος εἶπεν· εἰδὲ καὶ τοῦτο ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι;

Ὁ Μῦθος δηλοῖ, ὅτι ἄνευ συμβουλῆς οὐ δεῖ ποιεῖν τι.

## ΑΡΝΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἀρνὸς ἐφ' ὑψηλοῦ τόπου ἱστάμενος, Λύκον κάτωθεν παριόντα τὴν ὁδὸν ἔσκωπτε, καὶ θηρίον κακὸν ἀπεκάλει, καὶ ὠμοβόρον. Ὁ δὲ Λύκος στραφεὶς, εἶπε πρὸς αὐτόν· οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ πύργος, ἐν ᾧ ἵστασαι.

Ὁ Μῦθος πρὸς τοὺς ὑπομένοντας ὕβριν ἀπὸ ἀναξίων ἀνθρώπων, διὰ φόβον ὑψηλοτέρων.

## ΚΩΝΩΨ ΚΑΙ ΛΕΩΝ.

Κώνωψ πρὸς Λέοντα ἐλθὼν, εἶπεν· οὐδὲ φοβοῦμαί σε, οὐδὲ δυνατώτερός μου εἶ· εἰ δὲ μὴ, τί σοί ἐστιν ἡ δύναμις, ὅτι ξύεις τοῖς ὄνυξι, καὶ δάκνεις



τοῖς

τοῖς ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. Ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος· εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον. Καὶ σαλπίσας ὁ Κώνωψ, ἐνεπήγετο δάκνων τὰ περὶ τὰς ῥίνας αὐτοῦ ἄτριχα πρόσωπα. Ὁ δὲ Λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτὸν, ἕως οὗ ἠγανάκτησεν. Ὁ δὲ Κώνωψ νικήσας τὸν Λέοντα, καὶ σαλπίσας, καὶ ἐπινίκιον ᾄσας, ἵπτατο. Ἀράχνης δὲ δεσμῷ ἐμπλακεὶς, ἐσθιόμενος ἐπωδύρετο, ὅτι μεγίστοις πολεμῶν, ὑπὸ εὐτελοῦς ζώου τῆς Ἀράχνης ἀπώλετο.

Ὁ Μῦθος πρὸς τοὺς καταβάλλοντας μέγα, καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

## ΤΕΛΟΣ ΤΩΝ ΑΙΣΩΠΟΥ ΜΥΘΩΝ.



SISMANOGLIO MEGARO



# ΓΑΒΡΙΟΥ ΕΛΛΗΝΟΣ

# ΜΥΘΟΙ

## ΔΙΑ ΣΤΙΧΩΝ.

### ΑΝΘΡΩΠΟΥ ΚΑΙ ΛΙΘΙΝΟΥ ΛΕΟΝΤΟΣ.

Ἀνδρὸς ποσὶν πατεῖτο πέτρινος Λέων.
Καί τις Λέων, τί φησι τὴν ἰσχὺν βλέπεις;
Ἀλλ' εἰ Λέοντες, εἶπεν, ᾔδεισαν γλύφειν,
Πολλοὺς ἂν εἶδες ὄντας ἀνθρώπους λίθους.

Ὁ Μῦθος δηλοῖ ὅτι ἐπ' ἀρετῇ οὐ δεῖ σεμνύνεσθαι.

### ΛΕΟΝΤΟΣ ΚΟΙΜΩΜΕΝΟΥ ΚΑΙ ΜΥΟΣ.

Λέοντος ὑπνώττοντος, αὐχένος μέσον,
Διέδραμε Μῦς· ὃς δ' ἀνέστη συντόμως.
Γελᾷ δ' Ἀλώπηξ, καὶ Λέων ἀπεκρίθη·
Οὐ μὲν πτοοῦμαι, τὴν ὁδὸν δ' ἀνατρέπω.

Ὁ Μῦθος δηλοῖ ὅτι οὐ δεῖ καὶ μικρὰν περιφρόνησιν ἀποστρέφεσθαι.

## ΛΕΟΝΤΟΣ ΚΑΠΡΟΥ ΚΑΙ ΓΥΠΩΝ.

Λέων μάχην ἔστησε πρός ποτε Κάπρῳ·
Γύπες δ' ἄνωθεν ἐσκόπουν τὴν ἔριν,
Βρῶσιν τὸν ἡττηθέντα ποιῆσαι τάχα.
Φίλους δ' ὁρῶντες, ἠστόχουν τῶν ἐλπίδων.

Ὁ Μῦθος δηλοῖ ὅτι οὐ δεῖ ἀλλοτρίοις κακοῖς ἐπιχαίρειν.

## ΔΟΡΚΑΔΟΣ ΚΑΙ ΛΕΟΝΤΟΣ.

Λέοντα Δορκὰς ὡς εἶδεν μεμηνότα.
Ὦ μοῖρα θηρῶν, εἶπεν, ἀθλιωτάτη!
Εἰ σωφρονῶν γε, δυσκάθεκτος εἶ Λέων,
Πῶς νῦν μανεὶς οὐ μετὰ δακρύων δράσεις;

Ὁ Μῦθος δηλοῖ ὅτι τὸν ἐξουσίαν ἔχοντα οὐ δεῖ θυμοῦσθαι.

## ΛΕΟΝΤΟΣ ΟΝΟΥ ΚΑΙ ΑΛΩΠΕΚΟΣ.

Λέων, Ὄνος, Κερδώ τε πρὸς θήραν ἴον.
Ὄνου δὲ ταύτην εἰς τρίτον δεδασμένου,
Λέων κατεσπάραξε. Κερδὼ δὲ πλέον,
Ἔνειμεν αὐτῷ, σωφρονισθεῖσ' ἐξ Ὄνου.

Ὁ Μῦθος δηλοῖ ὅτι δεῖ, ἐξ ὧν πάσχουσιν ἕτεροι, παιδεύεσθαι.

## ΟΝΟΥ ΒΑΣΤΑΖΟΝΤΟΣ ΕΙΔΩΛΟΝ.

Ὤμοις Ὄνος παρῆγεν ἀργυροῦν βρέτας,
Ὅπερ συναντῶν πᾶς τις αὖ προσκυνεῖ.
Τύφῳ δ' ἐπαρθεὶς, μὴ θέλων μένειν Ὄνος,
Ἤκουσεν, οὐ θεὸς σύ, τὸν θεὸν δ' ἄγεις.

Ὁ Μῦθος δηλοῖ ὅτι τοὺς ἐν ἀξιώμασι τιμωμένους δεῖ γινώσκειν, ὅτι ἄνθρωποί εἰσι.

ΠΑΙ-



## ΠΑΙΔΟΣ ΕΣΘΙΟΝΤΟΣ ΣΠΛΑΓΧΝΑ.

Βοὸς φαγὼν πῶς εἰς ἑορτὴν ἔγκατα,
Οἴμοι κέκληγ', ὡς σπλάγχνα μῆτερ ἐκχέω!
Ἡ δ' αὖ γελῶσα, μὴ φοβοῦ τέκνον, ἔφη·
Τῶν σῶν γὰρ οὐδὲν, ἀλλ' ἐμεῖς ἀλλοτρίων.

Ὁ Μῦθος δηλοῖ ὅτι δεῖ τἀλλότρια ἀντιστρέφειν, καὶ μὴ γογγίζειν.

## ΑΛΩΠΕΚΟΣ ΚΑΙ ΒΑΤΟΥ.

Φραγμοὺς Ἀλώπηξ ὡς ὑπερβαίνειν θέλεν,
Ὀλισθάνουσα, καὶ Βάτου δεδραγμένη,
Ἔξεσε πέλμα, λοιδορεῖ δὲ τὴν Βάτον.
Μέμφου σεαυτὴν, μὴ μέ περ, κείνη φάτο.

Ὁ Μῦθος πρὸς τοὺς τὰ ἑαυτῶν κακὰ σιωπῶντας, τὰ δὲ τῶν ἑτέρων κατηγοροῦντας.

## ΚΩΝΩΠΟΣ ΚΑΙ ΤΑΥΡΟΥ.

Κώνωψ καθῆστο πρὸς κέρας Ταύρου πάλαι,
Ὅν περ κέλευεν, εἴπερ ἐκπτῆναι θέλει.
Ἤκουσε δ' ὥς περ οὐκ ἔγνω καθήμενον,
Οὔπω δὲ μὴ πτήσαντος αἴσθησιν λάβῃ.

Ὁ Μῦθος πρὸς τοὺς λογιζομένους ἑαυτοὺς εἶναι ἢ σοφοὺς, ἢ δυνατοὺς, ἢ φρονίμους, μὴ ὄντας δέ.

## ΕΛΑΦΟΥ ΚΑΙ ΑΜΠΕΛΟΥ.

Ἔλαφον ἐξήλαυνον οἱ Κυνηγέται.
Ἥτις δασείαις Ἀμπέλοις ἀπεκρύβη.
Τὰ φύλλα βιβρώσκουσα δὴ τῶν Ἀμπέλων,
Κυνηγετοῦσιν ἐνδίκως ἐθηράθη.

Ὁ Μῦθος ἐστὶ πρὸς τοὺς κακοποιοῦντας τοὺς αὐτῶν εὐεργέτας.

ΟΦΕΩΣ

SISMANOGLIO MEGARO

## ΟΦΕΩΣ ΚΑΙ ΓΕΩΡΓΟΥ.

Ὄφιν θέλων τις αὐτ' ὀλέθρου παιδίου,
Πλήττειν, πέτραν τ' ἔχιζε, καὶ φιλεῖν θέλων.
Ὄφις δέ φησι· πῶς γένοιντο συμβάσεις,
Ἕως σὺ τύμβον, τὴν δ' ἐγὼ πέτραν βλέπω;

Ὁ Μῦθος δηλοῖ ὅτι αἱ μεγάλαι ἔχθραι ἀδιάλλακτοί εἰσι.

## ΠΑΙΔΟΣ ΚΑΙ ΣΚΟΡΠΙΟΥ.

Ὡς ἀκρίδας θήρευε Παῖς τις, Σκορπίῳ
Προύτεινε χεῖρας· ὁ δὲ, μὴ ψαύσῃς, ἔφη·
Ὡς εἴγε μου ψαύσειας, ἐκ κόλπων σέων,
Καὶ τὰς ἀληθεῖς ἐκκενώσειας ἀκρίδας.

Ὁ Μῦθος δηλοῖ ὅτι δεῖ κακοῖς ἀνθρώποις μὴ συμμίγνυσθαι.

## ΣΥΟΣ ΚΑΙ ΜΥΟΣ.

Σῦς εἷλκέ τις Μῦν ἔργον ὄντ' ἀσιτείας,
Οὓς χαλκέες βλέποντες, ἔστησαν γέλων.
Ὁ Μῦς δ' ἔτι ζῶν, εἶπε μέσος δακρύων,
Ὡς οὐδὲ Σῦν δύνασθε κἂν τρέφειν σφα;

Ὁ Μῦθος πρὸς τοὺς τὰ ἑαυτῶν παραπτώματα παραβλέποντας, τὰ δὲ τῶν ἑτέρων γελῶντας.

## ΟΝΟΥ ΚΑΙ ΛΕΟΝΤΗΣ.

Φέρων Λέοντος δέρμα τοῖς ὤμοις Ὄνος,
Ηὔχει Λέων εἶναί τις, αἰπόλους βλέπων.
Ἐπεὶ δὲ γυμνὸς τῆς Λεοντῆς εὑρέθη,
Τοῦτο μύλων ἔμνησε τῆς ἀπαξίας.

Ὁ Μῦθος δηλοῖ, ὅτι αἱ παρ' ἀξίαν τιμαὶ τάχιστα λύονται.

ΤΡΑ-

SISMANOGLIO MEGARO



## ΤΡΑΓΟΥ ΚΑΙ ΑΜΠΕΛΟΥ.

Τράγῳ προσεῖπεν Ἄμπελος· βλάπτεις σύ με,
Κείρων τὰ φύλλα, μὴ γὰρ οὐκ ἔστι χλόη;
Ὅσον γὰρ αὖ βλάψειας, εὑρήσω τάχα,
Πρὸς θυσίαν τὴν εἰς θεοὺς οἶνον βλύσαι.

Ὁ Μῦθος δηλοῖ ὅτι πολλάκις θέλων τις ἀδικεῖν τινα, ὠφελεῖ αὐτόν.

## ΑΝΔΡΟΣ ΚΑΙ ΓΑΛΗΣ ΓΥΝΑΙΚΟΣ.

Ἀνὴρ Γαλῆν γυναῖκα πρὸς δόμους ἄγε.
Παρῆν δὲ Κύπρις εἰς ἑορτὴν τοῦ γάμου.
Νύμφη δὲ Μῦν βλέψασα, συντόνῳ τάχει,
Δίωκε τοῦτον, μὴ τραπεῖσα τὴν φύσιν.

Ὁ Μῦθος δηλοῖ ὅτι τὸ ἐκ φύσεως ὂν, οὐ μετατρέπεται.

## ΔΟΡΚΑΣ ΜΕΜΦΟΜΕΝΗ ΠΟΔΑΣ.

Πηγαῖς ὁρῶσα Δορκὰς αὑτῆς τὴν θέαν,
Λεπτοὺς πόδας μωμεῖτο, χαῖρε δ' εἰς κέρα.
Λέων δ' ἐπεὶ δίωκε, τούτους ἠγάπα,
Κέρα καθυβρίζουσα, θήρας ὡς πάγην.

Ὁ Μῦθος δηλοῖ ὅτι πολλάκις τὶς ὠφελεῖται, ἐξ ὧν δοκεῖ βλάπτεσθαι.

## ΑΛΩΠΕΚΟΣ ΚΑΙ ΣΤΑΦΥΛΗΣ.

Κερδὼ βότρυν βλέπουσα μακρᾶς ἀμπέλου,
Πρὸς ὕψος ἧρτο, καὶ καμοῦσα πολλάκις,
Ἑλεῖν ἀπεῖπε· πρὸς δ' ἑαυτὴν ταῦτ' ἔφη·
Μὴ κάμνε· ῥάγες ὀμφακίζουσιν μάλα.

Ὁ Μῦθος ἐστι πρὸς τοὺς ποιοῦντας τὴν ἀνάγκην φιλοτιμίαν.

ΚΟΡ-

## ΚΟΡΑΚΟΣ ΚΑΙ ΑΛΩΠΕΚΟΣ.

Τυρὸν Κόραξ ἔδακνε, Κερδὼ δ' ἠπάτα,
Εἰ γλῶσσαν εἶχες, Ζηνὸς ἦς ὄρνις μέγας.
Εὐθὺς δ' ὁ τοῦτον ῥίψεν· ἡ δ' αὐτὸν φάγεν.
Ἔχεις Κόραξ ἅπαντα, νοῦν κτῆσαι μόνον.

Ὁ Μῦθος ἐστὶ πρὸς τοὺς ἐπὶ κολακείαις χαίροντας.

## ΒΑΤΡΑΧΩΝ ΚΑΙ ΗΛΙΟΥ.

Γάμοις ἔχαιρον Βάτραχοι τοῦ Ἡλίου,
Καί τις πρὸς αὐτοὺς εἶπεν· ὦ δειλὸν γένος.
Εἰ γὰρ μόνας τρέμοιμεν αὐγὰς Ἡλίου,
Τίς, εἴγε τεκνώσειε, τοῦτο βαστάσει;

Ὁ Μῦθος ἐστὶ πρὸς τοὺς ἐπὶ ἰδίᾳ βλάβῃ ἀγνωσίᾳ χαίροντας.

## ΟΡΝΙΘΟΣ ΩΟΝ ΧΡΥΣΟΥΝ ΤΙΚΤΟΥΣΗΣ.

Ἔτικτε χρυσοῦν ὠὸν Ὄρνις εἰσάπαξ.
Καί τις πλανηθεὶς χρυσεραστὴς τὴν φρένα,
Ἔκτεινε ταύτην χρυσὸν ὡς λαβεῖν θέλων.
Ἐλπὶς δὲ μεῖζον δῶρον ὤλεκε τύχης.

Ὁ Μῦθος πρὸς τοὺς ἐλπίδι κέρδους εἰς ζημίαν ἐκ μικροψυχίας ἐμπίπτοντας.

## ΑΣΤΕΡΟΣΚΟΠΟΥ ΚΑΙ ΟΔΟΙΠΟΡΟΥ.

Ἄστροις περισκοπῶν τις Ἀστεροσκόπος,
Πίπτει λεληθὼς πρὸς φρέαρ. Τυχὼν δέ τις
Ὁδοιπόρος, στένοντι ταῦτ' ἔφη λέγων·
Νῦν θεὶς ἄνω, βέλτιστε, τὴν γῆν οὐ βλέπεις;

Ὁ Μῦθος δηλοῖ ὅτι πολλοὶ τὰ ἐνεστῶτα μὴ γινώσκοντες, τὰ μέλλοντα καυχῶνται γινώσκειν.

ΙΠ-

SISMANOGLIO MEGARO



## ΙΠΠΟΥ ΚΑΙ ΚΑΠΡΟΥ.

Ἤριζεν Ἵππος ἀγριωτάτῳ Κάπρῳ,
Ὁρμὴν δὲ θηρὸς Ἵππος οὐ σθένων ὅλως,
Ἑαυτὸν ἐκδέδωκεν, αἱρῶν σύμμαχον,
Ἔμπειρον ἄνδρα πρὸς σφαγὴν τοῦ θηρίου.

Ὁ Μῦθος δηλοῖ ὅτι δι' ἔχθραν τινὲς καὶ εἰς δουλείαν ἑαυτοὺς ἐμβάλλουσι.

## ΑΝΔΡΟΣ ΜΙΞΟΤΡΙΧΟΣ.

Ἐρωμένας δύ' εἶχεν. Ἀνὴρ μιξότριξ,
Χρόνῳ δι' ἐνηνοχύας πάντῃ, καὶ τρόπῳ.
Ἡ μὲν μελαίνας, ἡ δὲ λευκὰς ἔκφερον.
Ἐξ ὧν ψιλωθεὶς, πᾶσιν ὡράθη γέλως.

Ὁ Μῦθος πρὸς τοὺς δύο εἰς ἐναντία πράγματα ἑαυτοὺς ἐμβάλλοντας.

## ΑΕΤΟΥ ΚΑΙ ΚΟΛΟΙΟΥ.

Ἀρνὸν καταπτὰς Ἀετὸς καθαρπάσας,
Ἰδὼν Κολοιὸς ἐν Κριῷ πράττει τάδε.
Ὃν εἷλε ποιμήν. Παῖς δ' ἐφώνει τοῦτό τι,
Ἐμοὶ Κολοιὸς, Ἀετὸς δ' αὐτῷ πέλει.

Ὁ Μῦθος δηλοῖ ὅτι οὐ δεῖ μιμεῖσθαι τοὺς κρείττονας.

## ΚΟΛΟΙΟΥ ΚΑΙ ΑΛΛΩΝ ΟΡΝΕΩΝ.

Ἀλλοτρίοις πτεροῖσιν ἠμφιεσμένος,
Ηὔχει Κολοιὸς Ὀρνέων ὑπερφέρειν.
Πρῶτον δὴ δῶρον ἡ Χελιδὼν ἥρπακει,
Μεθ' ἣν ἅπαντες· εἶτα γυμνὸς εὑρέθη.

Ὁ Μῦθος δηλοῖ ὅτι τὸ ἐξ ἐράνου κάλλος διαλύεται.

ΛΕ-

## ΑΕΤΟΥ ΚΑΙ ΟΙΣΤΟΥ.

Βέλει τὸ στῆθος Ἀετὸς τρώθη πάλαι.
Ἀλγῶν δὲ λοιπὸν, ἧστο πολλὰ δακρύων.
Βλέπων δ' Ὀϊστὸν, εἶπεν, ἐπτερωμένον.
Βαβαὶ, πτερόν με τὸν πτερωτὸν ὀλλύει.

Ὁ Μῦθος ἐστὶ πρὸς τοὺς ἐκ τῶν ἰδίων κακῶς πάσχοντας.

## ΜΑΧΗ ΘΗΡΩΝ ΚΑΙ ΟΡΝΕΩΝ.

Πᾶσι πεφύκει θηρσὶ, καὶ πτηνοῖς μάχη.
Ἥλω Λίβυσσα στρουθὸς, ἣ τοὺς δ' ἐπλάνα,
Εἶναι μὲν ὄρνις, ἐκ μέρους δὲ θηρίον,
Πτηνοῖς κάραν δεικνῦσα, τοῖς θηρσὶν πόδας.

Ὁ Μῦθος πρὸς τοὺς δυσὶ κυρίοις δουλεύοντας, καὶ πλανῶντας ἀμφοτέρους.

## ΧΕΛΙΔΟΝΟΣ ΚΑΙ ΚΡΙΤΗΡΙΟΥ.

Πῆξε Χελιδὼν νοσσιὰν Κριτηρίου.
Ὕπερθεν, ἧσπερ τὴν γονὴν βλάπτει δράκων.
Ἡ δ' αὖτ' ἔφησεν· ὢ πολυστόνου τύχης!
Ὅπου γὰρ ἐκδίκησις, ἐβλάβην μόνη.

Ὁ Μῦθος πρὸς τοὺς παθόντας κακὸν ὑπὸ καλῶν ἀνθρώπων.

## ΤΡΙΩΝ ΒΟΩΝ ΚΑΙ ΛΕΟΝΤΟΣ.

Ὁμόφρονες νέμοντο τρεῖς ὁμοῦ Βόες,
Οὓς οὐδὲ θὴρ ἔβλαπτε πολλάκις Λέων.
Ἔχθρας δὲ μίσει, καὶ μάχης διασχίσας,
Ἕκαστον ἐκβέβρωκε γυμνὸν ὡς ἕνα.

Ὁ Μῦθος πρὸς τοὺς σχιζομένους ἐκ τῶν ἰδίων, καὶ διὰ τοῦτο κακῶς πάσχοντας.

ΓΕΩ-

SISMANOGLIO



## ΓΕΩΡΓΟΥ ΚΑΙ ΓΕΡΑΝΟΥ.

Ἔθνει Γεράνων πῆξέ τις σπορεὺς πάγην,
Μεθ' ὧν Πελαργὸν εἷλεν, ὃς θρήνει μέγα.
Ἔφη δ' ἀροτρεύς· ὡς φίλος μὲν εἶ σύ μοι.
Ἀλλ' ἡ πάγη λαβοῦσα, σὺν κακοῖς ἔχει.

Ὁ Μῦθος πρὸς φίλον τινὸς συνόμενον τοῖς ἐχθροῖς τοῦ φίλου αὐτοῦ.

## ΚΥΝΟΣ ΚΑΙ ΕΙΔΩΛΟΥ ΑΥΤΟΥ.

Φέρων ποταμοῦ πλησίον Κύων κρέας,
Κύψας ἑαυτὸν, ἄλλον εἰς ὕδωρ βλέπει.
Χανὼν δὲ λοιπὸν, τοῦ κάτω λαβεῖν κρέας,
Ἀπεστερεῖτο καὶ τοῦ, οὗπερ ἐκράτει.

Ὁ Μῦθος δηλοῖ ὅτι ὁ πλεονεκτῶν, μᾶλλον ζημιοῦται.

## ΟΝΟΥ ΑΛΟΣ ΚΑΙ ΣΠΟΓΓΩΝ.

Περῶν ποταμὸν, φόρτον ἦγ' ἁλὸς Ὄνος.
Ἐν ᾧ τε πέπτωκε, κουφισθεὶς βάρος.
Σπόγγων δ' ἔπειτα πλῆθος οὕτως ὡς φέρεν,
Πεσὼν ἑκοντὶ, δυστυχῶς ἀπεπνίγη.

Ὁ Μῦθος δηλοῖ ὅτι πολλάκις προσδοκία κέρδους εἰς ζημίαν καταντᾷ.

## ΚΑΜΗΛΟΥ ΚΑΙ ΔΙΟΣ.

Κυρτὴ Θεὸν Κάμηλος ἐξῄτει κέρα,
Ἣν ἐξεμυκτήρισε τῆς ἀβουλίας.
Ζημιοῖ γὰρ αὐτὴν λοιπὸν ὦτα, καὶ κάραν,
Ὡς ἄν γε παντάπασιν αἰσχίστη πέλη.

Ὁ Μῦθος δηλοῖ ὅτι δεῖ παρὰ τοῦ Θεοῦ αἰτεῖν τὰ προσήκοντα.

ΑΥ-

## ΛΥΚΟΥ ΚΑΙ ΑΡΝΟΣ.

Λύκος πρὸς Ἄρνα φησίν· οὐ πρόσθεν σύ μοι,
Ὕδωρ ταράττες; Ἄρτι γαστρὸς ἐξέφυν,
Καὶ πῶς ὕδωρ τάραττον; ἀγνοῶ πότε.
Θοίνη γενῇ μοι, κἂν θέμις, κἂν μὴ θέμις.

Ὁ Μῦθος ἐστὶ πρὸς τοὺς ἀδεῶς φανερῶς ἀδικοῦντας.

## ΔΕΙΛΟΥ ΚΥΝΗΓΟΥ ΚΑΙ ΠΟΙΜΕΝΟΣ.

Δειλὸς Κυνηγὸς πρός τιν' εἶπε Ποιμένα·
Εἴπου Λέοντος ἴχνος εἶδες, μοὶ φράσον.
Σὺ τοῦτον, εἶπεν, ἐθέλεις; δείξω· πέλας,
Ἴχνος. Κυνηγὸς εἶπεν· οὐ ζητῶ πλέον.

Ὁ Μῦθος πρὸς ἀνθρώπους θρασεῖς πρὸς λόγους, καὶ πρὸς ἔργα δειλούς.

## ΙΠΠΟΤΟΥ ΚΑΙ ΑΓΡΟΙΚΟΥ.

Ἤτει λαβεῖν Ἄγροικον λαγὼν Ἱππότης.
Λαβὼν δὲ χερσὶ τοῦτον, ἠρώτα, πόσου;
Καὶ πῶλον ἐξήλαυνεν. Ἄγροικος δ' ἔφη.
Μὴ σπεῦδε· σοὶ δώρημα τοῦτο προσφέρω.

Ὁ Μῦθος πρὸς τοὺς ἐξ ἀνάγκης παραιτουμένους τὰ ἴδια.

## ΛΥΚΟΥ ΚΑΙ ΟΝΟΥ.

Ὀδοῦσιν ἧλον εἷλεν ἐξ Ὄνου Λύκος,
Αἰτῶν δὲ μισθὸν, πλήττεται λὰξ τὴν γένυν.
Λύκος δ' ἔφησι, πῶς μάγειρος ὢν πάλαι,
Ἰατρικῆς μετῆλθον ἔργ' ἀναξίως;

Ὁ Μῦθος πρὸς τοὺς τὴν ἰδίαν τέχνην καταλιμπάνοντας, καὶ ἑτέραν μετερχομένους ἐπὶ βλάβῃ.

ΛΥ-

SISMANOGLIO



## ΛΥΚΟΥ ΚΑΙ ΓΕΡΑΝΟΥ.

Εἰς λαιμὸν ὀστοῦν ἐμπεπήγει τοῦ Λύκου,
Μισθῷ δ' ἑλὼν Γέρανος, ᾔτει τὴν χάριν.
Σῶον τράχηλον ἐκ Λύκου λαιμοῦ φέρων,
Μὴ δ' ἄλλο μηδὲν μισθὸν, ἢ τοῦτο σκόπει.

Ὁ Μῦθος πρὸς τοὺς ἐπικίνδυνον πρᾶξιν ἐγχειρήσαντας, καὶ μετὰ τὸ σύνθημα ζητοῦντας μισθόν.

## ΤΑΥΡΟΥ ΚΑΙ ΤΡΑΓΟΥ.

Ἤλαυνε Ταῦρον ἐξ ἑῆς κοίτης Τράγος,
Ὃν θὴρ δίωκεν· εἶπε δὲ στένων·
Εἴπερ με μὴ Λέοντος ἐπτόει φόβος,
Ἔγνως ὅσον Ταύρου τε, καὶ Τράγου σθένος.

Ὁ Μῦθος πρὸς τοὺς καταδεχομένους ὑβρίζεσθαι ὑπὸ μικρῶν, διὰ φόβον ἑτέρων μειζόνων.

## ΜΥΡΜΗΚΟΣ ΚΑΙ ΤΕΤΤΙΓΟΣ.

Ἤτει τροφὴν Μύρμηκα Τέττιξ ἐν κρύει.
Μύρμηξ δ' ἔφησε· τί θέρους ὄντος ἔδρας;
Ὡς ἐν θέρει, εἴρηκεν, ᾖδον ὀξέως.
Χειμῶνος ὀρχοῦ, φησὶ, μὴ τροφῆς ἔρα.

Ὁ Μῦθος πρὸς τοὺς μὴ θέλοντας ἐν νεότητι κοπιᾶν, καὶ διὰ τοῦτο ἐν τῷ γήρᾳ πτωχεύοντας.

## ΧΕΛΙΔΟΝΟΣ ΚΑΙ ΑΗΔΟΝΟΣ.

Ἀγροῦ Χελιδὼν μακρὰν ἐξεπωτήθη.
Εὗρε δ' ἐρήμοις ἐγκαθημένην ὕλαις,
Ἀηδόν' ὀξύφωνον, ἣ δ' ἀπεθρήνει
Τὸν Ἴτυν, ἄωρον ἐκπεσόντα τῆς ὥρης.
Χ' ἡ μὲν Χελιδὼν φησι, φιλτάτη ζώοις,
Πρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην,

Ἀλλ᾽ ἐλθ᾽ ἐς ἀγρὸν, καὶ πρὸς οἶκον ἀνθρώπων.
Σύσκηνος ἡμῖν, καὶ φίλη κατοικήσεις,
Ὅπου γεωργοῖς, κοὐχὶ θηρίοις ᾄσεις.
Τὴν δ᾽ αὖτ᾽ Ἀηδὼν ὀξύφωνος ἠμείφθη.
Ἔα με πέτραις ἐμμένειν ἀοικήτοις.
Οἶκος δέ μοι πᾶς, ἥτε μίξις ἀνθρώπων,
Μνήμην παλαιῶν συμφορῶν ἀναφλέξει.

Ὁ Μῦθος δηλοῖ, ὅτι κρεῖττον ἐν ἐρήμοις ζῆν ἀλύπως, ἢ συνοικεῖν ἐν πόλεσι τοῖς κακοῖς.

## ΟΦΕΩΣ ΚΑΙ ΓΕΩΡΓΟΥ.

Ἔθαλπέ τις Γεωργὸς ἐν κόλποις Ὄφιν,
Ὥρᾳ κρύους. Ἐπεὶ δὲ θέρμης ἤσθετο,
Ἔπληξε τὸν θάλψαντα, κἄκτεινε τάχος.

Ὁ Μῦθος δηλοῖ ὅτι οὕτω κακοὶ ποιοῦσι τοὺς εὐεργέτας.



SISMANOGLIO



# ΟΜΗΡΟΥ
# ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ.

Ἀρχόμενος, πρῶτον Μουσῶν χορὸν ἐξ Ἑλικῶνος
Ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ᾽ ἀοιδῆς,
Ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα
Δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος,
Εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι.
Πῶς Μύες ἐν Βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
Γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα Γιγάντων,
Ὡς λόγος ἐν θνητοῖσιν ἔην· τοίην δ᾽ ἔχεν ἀρχήν.
Μῦς ποτὲ διψαλέος Γαλέης κίνδυνον ἀλύξας,
Πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον,
Ὕδατι τερπόμενος μελιηδεῖ· τὸν δὲ κατεῖδε
Λιμνόχαρις πολύφημος, ἔπος δ᾽ ἐφθέγξατο τοῖον.
Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ᾽ ἠόνα; τίς δέ σ᾽ ὁ φύσας;
Πάντα δ᾽ ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
Εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω.
Δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ, καὶ ἐσθλά.
Εἰμὶ δ᾽ ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
Τιμῶμαι, Βατράχων ἡγούμενος ἤματα πάντα.
Καί με πατὴρ Πηλεὺς ποτε γείνατο, Ὑδρομεδούσῃ
Μιχθεὶς ἐν φιλότητι παρ᾽ ὄχθας Ἠριδανοῖο.
Καί σε ὁρῶ καλόν τε, καὶ ἄλκιμον ἔξοχον ἄλλων
Σκηπτοῦχον βασιλῆα, καὶ ἐν πολέμοισι μαχητὴν
Ἔμμεναι, ἀλλ᾽ ἄγε θᾶσσον ἑὴν γενεὴν ἀγόρευε.
Τὸν δ᾽ αὖ Ψιχάρπαξ ἠμείβετο, φώνησέν τε.
Τίπτε γένος τοὐμὸν ζητεῖς φίλε; δῆλον ἅπασιν

Ἀνθρώποις τε, θεοῖς τε, καὶ οὐρανίοις πετεηνοῖς.
Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι, εἰμὶ δὲ κοῦρος
Τρωξάρταο πατρὸς μεγαλήτορος, ἡ δέ νυ μήτηρ
Λειχομύλη θυγάτηρ Πτερνοτρώκτου βασιλῆος,
Γείνατο δ' ἐν καλύβῃ με, καὶ ἐξεθρέψατο βρωτοῖς,
Σύκοις, καὶ καρύοις, καὶ ἐδέσμασι παντοδαποῖσι.
Πῶς δὲ φίλον ποιῇ με τὸν εἰς φύσιν οὐδὲν ὅμοιον;
Σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν, αὐτὰρ ἔμοιγε
Ὅσσα παρ' ἀνθρώποις τρώγειν ἔθος, οὐδέ με λήθει
Ἄρτος τρισκοπάνιστος ἀπ' εὐκύκλου κανέοιο.
Οὐδὲ πλακοῦς τανύπεπλος ἔχων πολλὴν σισαμίδα,
Οὐ τόμος ἐκ πτέρνης, οὐχ ἥπατα λευκοχίτωνα
Οὐδὲ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος,
Οὐ χρηστὸν μελίτωμα, τὸ καὶ Μάκαρες ποθέουσιν,
Οὐδὲ ὅσα πρὸς θοίνην μερόπων τεύχουσι μάγειροι,
Κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.
Οὐδέποτ' ἐκ πολέμοιο κακὴν ἀπέφυγον ἀϋτὴν,
Ἀλλ' εὐθὺς μετὰ μῶλον ἰὼν προμάχοισιν ἐμίχθην.
Οὐ δέδι' ἄνθρωπον, καίπερ μέγα σῶμα φοροῦντα,
Ἀλλ' ἐπὶ λέκτρον ἰὼν, ἄκρον δάκτυλον καταδάκνω,
Καὶ πτέρνης λαβόμην, καὶ οὐ πόνος ἵκανεν ἄνδρα,
Νήδυμος οὐκ ἀπέφυγεν ὕπνος, δάκνοντος ἐμεῖο.
Ἀλλὰ δύο μάλα πάντα τὰ δείδια πᾶσαν ἐπ' αἶαν,
Κίρκον, καὶ Γαλέην, οἵ μοι μέγα πένθος ἄγουσιν,
Καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος.
Πλεῖστον δὴ Γαλέην περιδείδια, ἥτις ἀρίστη,
Ἣ καὶ τρωγλοδύνοντα κατὰ τρώγλην ἐρεείνει.
Οὐ τρώγω ῥαφάνας, οὐ κράμβας, οὐ κολοκύνθας,
Οὐ τεύτλοις χλωροῖς ἐπιβόσκομαι, οὐδὲ σελίνοις.
Ταῦτα γὰρ ὑμῶν ἐστιν ἐδέσματα τῶν κατὰ λίμνην.
Πρὸς τάδε μειδήσας Φυσίγναθος ἀντίον ηὔδα·
Ξεῖνε, λίαν αὐχεῖς ἐπὶ γαστέρι. Ἔστι καὶ ἡμῖν



SISMANOGLIO



Πολλὰ μάλ' ἐν λίμνῃ, καὶ ἐπὶ χθονὶ, θαύματ' ἰδέσθαι.
Ἀμφίβιον γὰρ ἔδωκε νομὴν Βατράχοισι Κρονίων.
Σκιρτῆσαι κατὰ γῆν, καὶ ὑφ' ὕδασι σῶμα καλύψαι.
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστιν.
Αἴρω σ' ἐν νώτοισι· κράτει δέ με, μή ποτ' ὄληαι,
Ὅππως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.
Ὣς ἄρ' ἔφη, καὶ νῶτ' ἐδίδου, ὁ δ' ἔβαινε τάχιστα,
Χεῖρας ἔχων ἁπαλοῖο κατ' αὐχένος ἅλματι κούφῳ.
Καὶ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους,
Νήξει τερπόμενος Φυσιγνάθου· ἀλλ' ὅτε δὴ ῥα
Κύμασι πορφυρέοις ἐπεκλύζετο, πολλὰ δακρύων
Ἄχρηστον μετάνοιαν ἐμέμφετο, τίλλε δὲ χαίτας,
Καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρος, ἐν δέ οἱ ἦτορ
Πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλετ' ἱκέσθαι,
Δεινὰ δ' ἐπιστονάχιζε φόβου κρυόεντος ἀνάγκῃ.
Οὐρὴν μὲν πρῶτ' ἔπλασ' ἐφ' ὕδασιν, ἠύτε κώπην
Σύρων, εὐχόμενός τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι,
Ὕδασι πορφυρέοισιν ἐκλύζετο· πολλὰ δ' ἐβόα.
Καὶ τοῖον φάτο μῦθον, ἀπὸ στόματος δ' ἀγόρευεν.
Οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος
Ταῦρος, ὅτ' Εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ Κρήτην,
Ὡς ἔμ' ἐπιπλώσας ἐπινώτιον ἦγεν ἐς οἶκον
Βάτραχος, ὑψώσας ὠχρὸν δέμας ὕδατι λευκῷ.
Ὕδρος δ' ἐξαπίνης ἀνεφαίνετο δεινὸν ὅραμα
Ἀμφοτέροις, ὀρθὸν δ' ὑπὲρ ὕδατος εἶχε τράχηλον.
Τοῦτον ἰδὼν κατέδυ Φυσίγναθος, οὔτι νοήσας
Οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμεναι κατὰ λίμνην.
Δῦ δὲ βάθος λίμνης, καὶ ἀλεύατο κῆρα μέλαιναν.
Κεῖνος δ' ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐς ὕδωρ,
Χεῖρας δ' ἔσφιγγεν, καὶ ἀπολλύμενος κατέτριζε.
Πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε
Λακτίζων ἀνέδυνε· μόρον δ' οὐκ ἦν ὑπαλύξαι.

Δυόμεναι δὲ τρίχες πλεῖστον βάρος εἷλκον ἐπ' αὐτῷ,
Ὕδασι δ' ὀλλύμενος, τοίους ἐφθέγξατο μύθους.
Οὐ λήσεις γε θεοὺς Φυσίγναθε ταῦτα ποιήσας,
Ναυηγὸν ῥίψας ἀπὸ σώματος ὡς ἀπὸ πέτρης.
Οὐκ ἄν μου κατὰ γαῖαν ἀμείνων ἦσθα κάκιστε
Παγκρατίῳ τε, πάλῃ τε, καὶ εἰς δρόμον, ἀλλὰ πλανήσας
Εἰς ὕδωρ μ' ἔρριψας. Ἔχει Θεὸς ἔκδικον ὄμμα,
Ποινὴν σὺ τίσεις Μυῶν στρατῷ, οὐδ' ὑπαλύξεις.
Ταῦτ' εἰπὼν, ἀπέπνευσεν ἐν ὕδασι· τὸν δὲ κατεῖδε
Λειχοπίναξ, ὄχθησιν ἐφεζόμενος μαλακῇσι.
Δεινὸν δ' ἐξολόλυξε, δραμὼν δ' ἤγγειλε Μύεσσιν.
Ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας.
Καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν ὑπ' ὄρθρον
Κηρύσσειν ἀγορήνδ' ἐς δώματα Τρωξάρταο
Πατρὸς δυστήνου Ψιχάρπαγος, ὃς κατὰ λίμνην
Ὕπτιος ἐξήπλωτο, νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθας
Ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
Ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτος ἀνέστη
Τρωξάρτης ἐπὶ παιδὶ χολούμενος, εἶπέ τε μῦθον·
Ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα
Ἐκ Βατράχων, ἡ μοῖρα κακὴ πάντεσσι τέτυκται.
Εἰμὶ δ' ἐγὼ δύστηνος, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.
Καὶ τὸν μὲν πρῶτόν γε κατέκτανεν ἁρπάξασα
Ἐχθίστη Γαλέη, τρώγλης ἔκτοσθεν ἑλοῦσα.
Τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον ἦξαν,
Καινοτέραις τέχναις ξύλινον δόλον ἐξευρόντες,
Ἣν παγίδα καλέουσι, Μυῶν ὀλέτειραν ἐοῦσαν.
Ὁ τρίτος ἦν ἀγαπητὸς ἐμοὶ, καὶ μητέρι κεδνῇ.
Τοῦτον ἀπέπνιξεν Φυσίγναθος ἐς βυθὸν ἄξας.
Ἀλλ' ἄγεθ' ὁπλισώμεθα, καὶ ἐξέλθωμεν ἐπ' αὐτοὺς,
Σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισι.
Ταῦτ' εἰπὼν, ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.





Καὶ τοὺς μέν ῥ' ἐκόρυσσεν Ἄρης πολέμοιο μεμηλώς.
Κνημῖδας μὲν πρῶτα περὶ κνήμησιν ἔθηκαν,
Ῥήξαντες κυάμους χλωροὺς, εὖτ' ἀσκήσαντες,
Οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
Θώρηκας δ' εἶχον καλαμοστεφέων ἀπὸ βυρσῶν,
Οὓς, Γαλέην δείραντες, ἐπισταμένως ἐποίησαν.
Ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον· ἡ δὲ νυ λόγχη
Εὐμήκεις βελόναι, παγχάλκεον ἔργον Ἄρηος.
Ἡ δὲ κόρυς τὸ λέπυρον ἐπὶ κροτάφοισι καρύου.
Οὕτω μὲν Μύες ἦσαν ἔνοπλοι. Ὡς δ' ἐνόησαν
Βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος, εἰς δ' ἕνα χῶρον
Ἐλθόντες, βουλὴν ξυνάγον πολέμοιο κακοῖο.
Σκεπτομένων δ' αὐτῶν πόθεν ἡ στάσις, ἤ τίς ὁ θρύλλος,
Κῆρυξ ἐγγύθεν ἦλθε, φέρων σκῆπτρον μετὰ χερσὶ,
Τυρογλύφου υἱὸς μεγαλήτορος Ἐμβασίχυτρος,
Ἀγγέλλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε μῦθον.
Ὦ Βάτραχοι, Μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν
Εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πόλεμόν τε, μάχην τε.
Εἶδον γὰρ καθ' ὕδωρ Ψιχάρπαγα, ὃν κατέπεφνεν
Ὑμέτερος βασιλεὺς Φυσίγναθος· ἀλλὰ μάχεσθε,
Οἵτινες Βατράχοισιν ἀριστῆες γεγάατε.
Ὡς εἰπὼν ἀπέφηνε, λόγος δ' εἰς οὔατα Μυῶν
Εἰσελθὼν, ἐτάραξε φρένας Βατράχων ἀγερώχων.
Μεμφομένων δ' αὐτῶν, Φυσίγναθος εἶπεν ἀναστάς·
Ὦ φίλοι, οὐκ ἔκτεινον ἐγὼ Μῦν, οὐδὲ κατεῖδον
Ὀλλύμενον, πάντως ἐπνίγη παίζων παρὰ λίμνην,
Νήξεις τὰς Βατράχων μιμούμενος, οἱ δὲ κάκιστοι
Νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον· ἀλλ' ἄγε βουλὴν
Ζητήσωμεν, ὅπως δολίους Μύας ἐξολέσωμεν.
Τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Σώματα κοσμήσαντες, ἔνοπλοι στῶμεν ἅπαντες
Ἄκροις πὰρ χείλεσιν, ὅπου κατάκρημνος ὁ χῶρος.



SISMANOGLIO

Ἡνίκα δ᾽ ὁρμηθέντες ἐφ᾽ ἡμέας ἐξέλθωσι,
Δραξάμενοι κορύθων, ὅστις σχεδὸν ἀντίος ἔλθοι,
Ἐς λίμνην αὐτοὺς σὺν ἔντεσιν εὐθὺ βάλωμεν.
Οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους,
Στήσομεν εὐθύμως τὸ Μυοκτόνον ὧδε τρόπαιον.
Ὣς ἄρα φωνήσας, ὅπλοις ἐνέδυσεν ἅπαντας.
Φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν.
Θώρηκας δ᾽ εἶχον χλοερῶν πλατέων ἀπὸ τεύτλων.
Φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν.
Ἔγχος δ᾽ ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει.
Καὶ κόρυθες κοχλιῶν λεπτῶν κάρατ᾽ ἀμφεκάλυπτον.
Φραξάμενοι δ᾽ ἔστησαν ἐπ᾽ ὄχθαις ὑψηλῇσι
Σείοντες λόγχας, θυμοῦ δ᾽ ἔπλητο ἕκαστος.
Ζεὺς δὲ θεοὺς καλέσας εἰς οὐρανὸν ἀστερόεντα,
Καὶ πολέμου πληθὺν δείξας, κρατερούς τε μαχητὰς
Πολλοὺς, καὶ μεγάλους, ἠδ᾽ ἔγχεα μακρὰ φέροντας,
Οἷος Κενταύρων στρατὸς ἔρχεται, ἢ δὲ Γιγάντων,
Ἡδὺ γελῶν ἐρέεινε· τίνες Βατράχοισιν ἀρωγοὶ,
Ἢ Μυσὶν ἀθανάτων; καὶ Ἀθηναίην προσέειπεν.
Ὦ θύγατερ, Μυσὶν ἦρ᾽ ἐπαλεξήσουσα πορεύσῃ.
Καὶ γάρ σου κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες,
Κνίσσῃ τερπόμενοι, καὶ ἐδέσμασιν ἐκ θυσιάων.
Ὣς ἄρ᾽ ἔφη Κρονίδης, τὸν δὲ προσέειπεν Ἀθήνη.
Ὦ πάτερ, οὐκ ἄν πώποτ᾽ ἐγὼ Μυσὶ τειρομένοισιν
Ἐλθοίμην ἐπαρωγὸς, ἐπεὶ κακὰ πολλά μ᾽ ἔοργαν.
Στέμματα βλάπτοντες, καὶ λύχνους εἵνεκ᾽ ἐλαίου.
Τοῦτο δέ μου λίην ἔδακε φρένας, οἷον ἔρεξαν.
Πέπλον μου κατέτρωξαν, ὃν ἐξύφηνα καμοῦσα
Ἐκ ῥοδάνης λεπτῆς, καὶ στήμονα λεπτὸν ἔνησα,
Τρώγλας τ᾽ ἐμποίησαν· ὁ δ᾽ ἠπητής μοι ἐπέστη,
Καὶ πράσσει με τόκους· τοῦτο χάριν ἐξώργισμαι.
Χρησαμένη γὰρ ὕφηνα, καὶ οὐκ ἔχω ἀνταποδοῦναι.

Ἀλλ᾽

SISMANOGLIO MEGARO



Ἀλλ᾽ οὐδ᾽ ὡς Βατράχοισιν ἀρηγέμεν οὐκ ἐθελήσω.
Εἰσὶ γὰρ οὐδ᾽ αὐτοὶ φρένας ἔμπεδοι, ἀλλά με πρῶτον
Ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην,
Ὕπνου δευομένην οὐκ εἴασαν θορυβοῦντες
Οὐδ᾽ ὀλίγον καταμῦσαι· ἐγὼ δ᾽ ἄυπνος κατεκείμην
Τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
Ἀλλ᾽ ἄγε παυσώμεθα θεοὶ τούτοισιν ἀρήγειν,
Μή κέ τις ἡμείων τρωθῇ βέλει ὀξυόεντι.
Εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ θεὸς ἀντίος ἔλθοι.
Πάντες δ᾽ οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.
Ὣς ἄρ᾽ ἔφη, τῇ δ᾽ αὖτε πεποίθοντο θεοὶ ἄλλοι
Πάντες· ὁμῶς δὲ ἀολλέες ἤλυθον εἰς ἕνα χῶρον.
Κὰδ δ᾽ ἦλθον κήρυκε τέρας πολέμοιο φέροντε.
Καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες,
Δεινὸν ἐσάλπιζον πολέμου κτύπον· οὐρανόθεν δὲ
Ζεὺς Κρονίδης βρόντησε τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ᾽ Ὑψιβόας Λειχήνορα οὔτασε δουρὶ,
Ἑσταότ᾽ ἐν προμάχοις κατὰ γαστέρα εἰς μέσον ἧπαρ.
Κὰδ δ᾽ ἔπεσε πρηνὴς, ἁπαλὰς δ᾽ ἐκόνισεν ἐθείρας.
Τρωγλοδύτης δὲ μετ᾽ αὐτὸν ἀκόντισε Πυλείωνα,
Πῆξεν δ᾽ ἐν στέρνῳ στιβαρὸν δόρυ· τὸν δὲ πεσόντα
Εἷλε μέλας θάνατος, ψυχὴ δ᾽ ἐκ σώματος ἔπτη.
Σευτλαῖος δ᾽ ἄρ᾽ ἔπεφνε βαλὼν κέαρ Ἐμβασίχυτρον.
Ἀρτοφάγος δὲ Πολύφωνον κατὰ γαστέρα τύψεν,
Ἤριπε δὲ πρηνὴς, ψυχὴ δὲ μελέων ἐξέπτη.
Λιμνόχαρις δ᾽ ὡς εἶδεν ἀπολλύμενον Πολύφωνον,
Τρωγλοδύτην πέτρῳ μυλοειδέϊ τρῶσεν ἐπιφθὰς
Αὐχένα πὰρ μέσσον· τὸν δὲ σκότος ὄσσ᾽ ἐκάλυψε.
Λειχήνωρ δ᾽ αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν, οὐδ᾽ ἀφάμαρτε, καθ᾽ ἧπαρ· ὡς δ᾽ ἐνόησε
Κραμβοφάγος, ὄχθαισι βαθείαις ἔμπεσε φεύγων,
Ἀλλ᾽ οὐδ᾽ ὡς ἀπέληγεν ἐν ὕδασιν, ἤλασε δ᾽ αὐτὸν,

Κάπ-

Κάππεσε δ', οὐκ ἀνέπνευσεν, ἐβάπτετο δ' αἵματι λίμνη
Πορφυρέῳ· αὐτὸς δὲ παρ' ἠϊόν' ἐξετανύσθη,
Χορδῇσιν λιπαρῇσί τ' ἐπορνύμενος λαγόνεσσιν.
Λιμνήσιος δ' ὄχθαισι Τυρογλύφον ἐξενάριξε.
Πτερνογλύφον δὲ ἰδὼν Καλαμίνθιος, εἰς φόβον ἦλθεν,
Ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.
Ὑδρόχαρις δέ τε πέφνε Πτερνοφάγον βασιλῆα,
Χερμαδίῳ πλήξας κατὰ βρέγματος· ἐγκέφαλος δὲ
Ἐκ ῥινῶν ἔσταζε· παλάσσετο δ' αἵματι γαῖα.
Λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα Βορβοροκοίτην,
Ἔγχει ἐπαΐξας· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Πρασσοφάγος δ' ἐσιδὼν, ποδὸς ἥλκυσε Κνισσοδιώκτην,
Ἐν λίμνῃ δ' ἀπέπνιξε, κρατήσας χειρὶ τένοντα.
Ψιχάρπαξ δ' ἤμυν' ἑτάρων περὶ τεθνειώτων,
Καὶ βάλε Πηλούσιον κατὰ νηδύος εἰς μέσον ἧπαρ.
Πίπτε δέ οἱ πρόσθεν, ψυχὴ δ' ἄϊδόσδε βεβήκει.
Πηλοβάτης δ' ἐσιδὼν, πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτὸν,
Καὶ τὸ μέτωπον ἔχρισε, καὶ ἐξετύφλου παρὰ μικρόν.
Θυμώθη δ' ἄρα κεῖνος, ἑλὼν δέ γε χειρὶ παχείῃ
Κείμενον ἐν πεδίῳ λίθον ὄβριμον ἄχθος ἀρούρης,
Τῷ βάλε Πηλοβάτην ὑπὸ γούνατα, πᾶσα δ' ἐκλάσθη
Κνήμη δεξιτερή· πέσε δ' ὕπτιος ἐν κονίῃσι.
Κραμβασίδης δ' ἤμυνε, καὶ αὖθις βαῖνεν ἐπ' αὐτὸν,
Τύψε μέσην δ' αὐτὸν κατὰ γαστέρα, πᾶς δέ οἱ εἴσω
Ὀξύσχοινος δῦνε· χαμαὶ δ' ἔκχυντο ἅπαντα
Ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ.
Σιτοφάγος δ' ὡς εἶδεν ἐπ' ὄχθησιν ποταμοῖο,
Σκάζων ἐκ πολέμου ἀνεχάζετο, τείρετο δ' αἰνῶς,
Ἥλατο δ' ἐς τάφρον, ὅπως φύγῃ αἰπὺν ὄλεθρον.
Τρωξάρτης δ' ἔβαλεν Φυσίγναθον ἐς πόδα ἄκρον,
Ὦκα δὲ τειρόμενος, ἐς λίμνην ἥλατο φεύγων.
Τρωξάρτης δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,

Καὶ

SISMANOGLIO



Καὶ οἱ ἐπέδραμεν αὖθις, ἀποκτάμεναι μενεαίνων.
Πρασσαῖος δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
Ἦλθε διὰ προμάχων, καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ,
Οὐδ' ἔρρηξε σάκος, σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή.
Ἦν δέ τις ἐν Μύεσσι νέος παῖς ἔξοχος ἄλλων,
Ἀγχέμαχος, φίλος υἱὸς ἀμύμονος Ἀρτεπιβούλου,
Ὄρχαμος αὐτὸν Ἄρη φαίνων κρατερὸς Μεριδάρπαξ,
Ὃς μόνος ἐν Μύεσσιν ἀριστεύεσκε μάχεσθαι.
Στῆ δὲ παρὰ λίμνην γαυρούμενος οἶος ἀπ' ἄλλων,
Σεῦτο δὲ πορθήσειν Βατράχων γένος αἰχμητάων.
Καὶ νύ κεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Πατὴρ ἀνδρῶν τε, θεῶν τε,
Καὶ τότ' ἀπολλυμένους Βατράχους ᾤκτειρε Κρονίων,
Κινήσας δὲ κάρην, τοιὴν δ' ἐφθέγξατο φωνήν.

Ὢ πόποι, ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι.
Οὐ μικρόν μ' ἔπληξε Μεριδάρπαξ κατὰ λίμνην,
Ἐναίρειν Βατράχους βλεμαίνων, ἀλλὰ τάχιστα,
Παλλάδα πέμψωμεν πολεμόκλονον, ἠδὲ καὶ Ἄρην,
Οἵ μιν ἀποσχήσουσι μάχης καρτερόν περ ἐόντα.
Ὣς ἄρ' ἔφη Κρονίδης. Ἄρης δ' ἀπαμείβετο μύθῳ.
Οὔτ' ἄρ' Ἀθηναίης, Κρονίδη, σθένος, οὔτε Ἄρηος,
Ἰσχύσει Βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον·
Ἀλλ' ἄγε πάντες ἴωμεν ἀρηγόνες, ἢ τὸ σὸν ὅπλον
Κινείσθω μέγα Τιτανοκτόνον ὀβριμοεργὸν,
Ὧ Τιτᾶνας πέφνες ἀρίστους ἔξοχα πάντων,
Ἐγκέλαδόν τ' ἐπέδησας, ἰδ' ἄγρια φῦλα γιγάντων.

Ὣς ἄρ' ἔφη· Κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν.
Πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλέλιξεν ὄλυμπον,
Αὐτὰρ ἔπειτα κεραυνὸν δειμαλέον, Διὸς ὅπλον,
Ἧκ' ἐπιδινήσας, ὁ δ' ἄρ' ἔπτατο χειρὸς Ἄνακτος,
Πάντας μὲν ῥ' ἐφόβησε βαλὼν βατράχους τε, Μύας τε.
Ἀλλ' οὐδ' ὡς ἀπέληγε Μυῶν στρατὸς, ἀλλ' ἔτι μᾶλλον

Ἵετο

Ἵετο πορθήσειν Βατράχων γένος αἰχμητάων.
Εἰ μὴ ἀπ' οὐλύμπου Βατράχους ἐλέησε Κρονίων.
Ὅς ῥα τότε Βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.
Ἦλθον δ' ἐξαίφνης νωτάκμονες, ἀγκυλοχῆλαι,
Λοξοβάται, στρεβλοὶ, ψαλιδόστομοι, ὀστρακόδερμοι,
Ὀστοφυεῖς, πλατυνῶτοι, ἀποστίλβοντες ἐν ὤμοις,
Βλαισοὶ, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
Ὀκτάποδες, δικάρηνοι, ἀχειρέες, οἱ δὲ καλεῦνται
Καρκίνοι, οἵ ῥα Μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον,
Ἠδὲ πόδας καὶ χεῖρας, ἀνεγνάμπτοντο δὲ λόγχαι.
Οὓς ὑπέδεισαν δειλοὶ Μύες, οὐδ' ὑπέμειναν.
Ἐς δὲ φυγὴν ἐτράποντο· ἐδύσετο δ' Ἥλιος ἤδη,
Καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.



SISMANOGLIO MEGARO



# ΕΠΙΤΑΦΙΟΝ

## ΕΙΣ ΟΜΗΡΟΝ

### ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τὰν μερόπων πειθὼ, τὸ μέγα στόμα, τὰν ἴσα μούσαις
Φθεγξαμέναν κεφαλὰν, ὦ ξεῖνε Μαιονίδεω,
Ἅδ' ἔλαχον νασῖτις Ἴου σπιλάς· οὐ γὰρ ἐν ἄλλᾳ
Ἱερὸν, ἀλλ' ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν.
Ὧ νεῦμα Κρονίδαο τὸ παγκρατὲς, ᾧ καὶ Ὄλυμπον,
Καὶ τὰν Αἴαντος ναύμαχον εἶπε βίαν,
Καὶ τὸν Ἀχιλλείοις φαρσαλίσιν Ἕκτορα πώλοις
Ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.
Εἰ δ' ὀλίγα κρύπτω τὸν ταλίκον, ἴσθ' ὅτι κεύθει
Καὶ Θέτιδος γαμέταν ἀβραχύβωλος Ἴκος.

# ΕΤΕΡΟΝ

ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ

## ΤΟΥ ΑΥΤΟΥ.

Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

# ΜΑΡΚΟΥ ΜΟΥΣΟΥΡΟΥ

## ΤΟΥ ΚΡΗΤΟΣ

## ΥΠΟΘΕΣΙΣ

## ΕΙΣ ΜΟΥΣΑΙΟΝ

Νηὸς ἔσω ἀνὰ Σηστόν· ἀγίνεον ἦχι θυηλάς,
Κυπρογενεῖ ἀποδόντες ἐτήσιον· αὐτὰρ ὁ τόξον
Οὖλος Ἔρως βάσαζε, διοιστεῦσαι δὲ μεμηνὼς,
Ὀξέα δενδίλλεσκε· πικρὸν δ' ἴθυνεν ὀϊστόν.
Μητρὸς ἐπ' ἀρύτειραν ἐπισπέρχων δ' ἐπελάσθη,
Ἤπατι Λειάνδροιο κόρης φρένα αἶψα περήσας.
Ἀμφότεροι δὲ πόθῳ, αὐτῷ πεφορημένοι οἴστρῳ,
Ἀλλήλων ἀπόναντο· γάμων δὲ συνίστορα λύχνον
Λαθριδίων θήκαντο· σιδήρειον δὲ λελογχὼς
Αἶμα, πολυπλάγκτης προὔδωκε ποθεῦντας ἀέλλας.
Καί σφε φάος μὲν ἄμερσεν, ἄμερσε δὲ καὶ φιλοτήτων.

## ΤΟΥ ΑΥΤΟΥ

## ΕΙΣ ΜΟΥΣΑΙΟΝ.

Καὶ φρένας ἀδρήστεια θεῶν ἕλε· δὴ γὰρ ἀοιδαῖς
Στεῦτο λαχεῖν Ἄρης, μοῦνος ἄποινα πόνων,
Τοῦτο κλύων νεμέσησ', ὅτ' ἑοῖς ἐπενήνοθεν ἔργοις
Ἀχλὺς ἀδίνη· ἄρσις τ' οὐχ ἅδεν ὕβριν ἔρως.
Μυσαίῳ δ' ἐπέτελλεν· ὁ ἐκλήϊζε ποθεῦντων
Οἶστρον, ἀποδρέψαι παρθενίης κάλυκας,
Αἰνείσθω δὲ μικρῆσιν ἐπιστίξας σελίδεσσιν,
Ὅσσ' ὀλίγαις παίζων χερσὶν ἔοργεν ἔρως.

ΜΟΥ-



# ΜΟΥΣΑΙΟΥ

## ΠΟΙΗΤΟΥ ΑΡΧΑΙΟΤΑΤΟΥ

## ΤΑ ΚΑΤ' ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ.

Εἰπὲ Θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων,
Καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων,
Καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς,
Καὶ Σηστὸν, καὶ Ἄβυδον, ὅπη γάμος ἔννυχος Ἡροῦς
Νηχόμενόν τε Λέανδρον ὁμοῦ, καὶ λύχνον ἀκούω,
Λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης,
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην,
Λύχνον ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος Ζεὺς
Ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐφ' ὁμήγυριν ἄστρων,
Καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων,
Ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων,
Ἀγγελίην δ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων,
Πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
Ἀλλ' ἄγε μοι μέλποντι μίαν ξυνάειδε τελευτὴν
Λύχνου σβεννυμένοιο, καὶ ὀλλυμένοιο ΛΕΑΝΔΡΟΥ.
Σηστὸς ἔην, καὶ Ἄβυδος, ἐναντίον ἐγγύθι πόντου
Γείτονές εἰσι πόληες. Ἔρως δ' ἀνὰ τόξα τιταίνων,
Ἀμφοτέροις πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν,
Ἠΐθεον φλέξας, καὶ παρθένον, οὔνομα δ' αὐτῶν
Ἱμερόεις τε ΛΕΑΝΔΡΟΣ ἔην, καὶ παρθένος Ἡρώ.
Ἡ μὲν Σηστὸν ἔναιεν, ὁ δὲ πτολίεθρον Ἀβύδου.
Ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω,
Ἴκελοι ἀλλήλοισι· σὺ δ' εἴποτε κεῖθι περήσεις,
Δίζεό μοι τινὰ πύργον, ὅπῃ ποτὲ Σηστιὰς Ἡρὼ

Ἵστα

Ἵσατο λύχνον ἔχουσα, ϗ ἡγεμόνευε ΛΕΑΝΔΡΩ.
Δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου,
Εἰσέτι που κλαίοντα μόρον, ϗ ἔρωτα Λεάνδρου.
Ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων,
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε ϗ αὐτήν;
Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια· γάμων δ' ἀδίδακτος ἐοῦσα,
Πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ,
Ἄλλη Κύπρις ἄνασσα· σαοφροσύνῃ δὲ ϗ αἰδοῖ
Οὐδέποτ' ἀγρομένῃσιν ἐνωμίλησε γυναιξὶν,
Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης,
Μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων.
Καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες.
Ἀλλ' αἰεὶ Κυθέρειαν ἱλασκομένη Ἀφροδίτην,
Πολλάκι ϗ τὸν Ἔρωτα παρηγορέεσκε θυηλαῖς,
Μητρὶ σὺν οὐρανίῃ φλογερὴν τρομέουσα φαρέτρην.
Ἀλλ' οὐδ' ὣς ἀλέεινε πυριπνείοντας ὀϊστούς.
Δὴ γὰρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτὴ,
Τὴν ἀνὰ Σηστὸν ἄγουσιν Ἀδώνιδι, ϗ Κυθερείῃ,
Πασσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι
Ὅσσοι ναιετάεσκον ἁλιστεφέων σφυρὰ νήσων.
Οἱ μὲν ἀφ' Αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ Κύπρου,
Οὐ δὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι Κυθήρων,
Οὐ Λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων,
Οὐ Φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς Ἀβύδου,
Οὐ δέ τις ἠϊθέων φιλοπάρθενος. ἦ γὰρ ἐκεῖνοι
Αἰὲν ὁμαρτήσαντες ὅτι φάτις ἐστὶν ἑορτῆς,
Οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλὰς,
Ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
Ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος Ἡρὼ,
Μαρμαρυγὴν χαρίεσσαν ἀπαστράπτουσα προσώπου,
Οἷά τε λευκοπάρηος ἐπαντέλλουσα Σελήνη.

Ἄκρα



Ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν,
Ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον. ἦ τάχα φαίης,
Ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι.
Χροιὴ γὰρ μελέων ἐρυθαίνετο. νισσομένης δὲ
Καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης.
Πολλαὶ δ' ἐκ μελέων χάριτες ῥέον. Οἱ δὲ παλαιοὶ
Τρεῖς Χάριτας ψεύσαντο πεφυκέναι, εἷς δέ τις Ἡροῦς
Ὀφθαλμὸς γελόων, ἑκατὸν χαρίτεσσι τεθήλει.
Ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρετο Κύπρις·
Ὣς ἡ μὲν περὶ πολλῶν ἀριστεύσασα γυναικῶν,
Κύπριδος ἀρήτειρα νέη διεφαίνετο Κύπρις.
Δύσατο δ' ἠϊθέων ἁπαλὰς φρένας· οὐδέ τις ἀνδρῶν
Ἦεν, ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.
Ἡ δ' ἄρα καλλιθέμεθλον ὅπῃ κατὰ νηὸν ἀλᾶτο,
Ἑσπόμενον νόον εἶχε, ϗ ὄμματα, ϗ φρένας ἀνδρῶν.
Καί τις ἐν ἠϊθέοισιν ἐθαύμασε, καὶ φάτο μῦθον.
Καὶ Σπάρτης ἐπέβην, Λακεδαίμονος ἔδρακον ἄστυ,
Ἧχι μόθον, ϗ ἄεθλον ἀκούομεν ἀγλαϊάων,
Τοίην δ' οὔπω ὄπωπα νέην δεκνὴν θ' ἁπαλήν τε.
Καὶ τάχα Κύπρις ἔχει χαρίτων μίαν ὁπλοτεράων.
Παπταίνων ἐμόγησα, κόρον δ' οὐχ εὗρον ὀπωπῆς.
Αὐτίκα τεθναίην, λεχέων ἐπιβήμενος Ἡροῦς.
Οὐκ ἂν ἐγὼ κατ' Ὄλυμπον ἐφιμείρω θεὸς εἶναι,
Ἡμετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ἡρώ.
Εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
Τοίην μοι, Κυθέρεια, νέην παράκοιτιν ὀπάσσαις.
Τοῖα μὲν ἠϊθέων τὶς ἐφώνεεν· ἄλλοθεν ἄλλος,
Ἕλκος ὑποκλέπτων, ἐπεμήνατο κάλλεϊ κούρης.
Αἰνοπαθὲς Λείανδρε, σὺ δ' ὡς ἴδες εὐκλέα κούρην,
Οὐκ ἔθελες κρυφίοισι κατατρύχειν φρένα κέντροις,
Ἀλλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀϊστοῖς,
Οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς.

Σῶν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων,
Καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
Κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς
Ὀξύτερον μερόπεσσι πέλει πτερόεντες ὀϊστοῦ.
Ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων
Ἕλκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
Εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
Ἔτρεμε μὲν κραδίην· αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
Θάμβεε δ' εἶδος ἄριστον· ἔρως δ' ἀπενόσφισεν αἰδῶ.
Θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
Ἠρέμα ποσσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης.
Δοξὰ δ' ὀπιπτεύων, δολερὰς ἐλέλιζεν ὀπωπὰς,
Νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
Αὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα Λεάνδρου,
Χαῖρε ἐπ' ἀγλαΐησιν· ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
Πολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπὴν,
Νεύμασι λαθριδίοισιν ὑπαγγελέουσα Λεάνδρῳ,
Καὶ πάλιν ἀντέκλινεν. Ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
Ὅττι πόθον ξυνέηκε, καὶ οὐκ ἀπεσείσατο κούρη.
Ὄφρα μὲν οὖν Λείανδρος ἐδίζετο λάθριον ὥρην,
Φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν ἠώς,
Ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστήρ.
Αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
Ὡς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὀμίχλην.
Ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης,
Βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον. Ἡ δὲ σιωπῇ
Οἷά τε χωομένη ῥοδέην ἐξέσπασε χεῖρα,
Ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
Θαρσαλέως παλάμῃ πολυδαίδαλον εἷλκε χιτῶνα,
Ἔσχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ.
Ὀκναλέως δὲ πόδεσσιν ἐφέσπετο παρθένος Ἡρὼ,
Οἷά περ οὐκ ἐθέλουσα· τοίην δ' ἀνενείκατο φωνὴν,
Θη-



Θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ.
Ξεῖνε τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
Ἄλλην δεῦρο κέλευθον, ἐμὸν δ' ἀπόλειπε χιτῶνα.
Μῆνιν ἐμῶν ἀπόειπε πολυκτεάνων γενετήρων.
Κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν.
Παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
Τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
Θηλείης δὲ Λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς,
Ἔγνω πειθομένων σημήϊα παρθενικάων.
Καὶ γὰρ ὅτ' ἠϊθέοισιν ἀπειλείωσι γυναῖκες,
Κυπριδίων ὀάρων αὐτάγγελοί εἰσιν ἀπειλαί.
Παρθενικῆς δ' εὔοδμον ἐΰχροον αὐχένα κύσσας,
Τοῖον μῦθον ἔειπε πόθου βεβολημένος οἴστρῳ.
Κύπρι φίλη μετὰ Κύπριν, Ἀθηναίη μετ' Ἀθήνην.
Οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξὶν,
Ἀλλά σε θυγατέρεσσι Διὸς Κρονίωνος ἐΐσκω.
Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ,
Γαστὴρ ἥ σ' ἐλόχευσε μακαρτάτη, ἀλλὰ λιτάων
Ἡμετέρων ἐπάκουε, πόθου δ' οἴκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια μετέρχεο Κύπριδος ἔργα.
Δεῦρ' ἴθι μυστιπόλευε γαμήλια θεσμὰ θεαίνης.
Παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν Ἀφροδίτῃ.
Παρθενικαῖς οὐ Κύπρις ἰαίνεται· ἢν δ' ἐθελήσῃς
Θεσμὰ θεῆς ἐρόεντα, καὶ ὄργια πιστὰ δαῆναι,
Ἔστι γάμος, καὶ λέκτρα· σὺ δ' εἰ φιλέεις Κυθέρειαν,
Θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων,
Σὸν δ' ἱκέτην με κόμιζε, καὶ ἢν ἐθέλῃς παρακοίτην,
Τόν σοι Ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας.
Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόρραπις Ἑρμῆς
Θητεύειν ἐκόμιζεν Ἰαρδανίην ποτὶ νύμφην.
Σοὶ δέ με Κύπρις ἔπεμπε, καὶ οὐ σοφὸς ἤγαγεν Ἑρμῆς,
Παρθένος οὐ σε λέληθεν ἀπ' Ἀρκαδίης Ἀταλάντη,

 Ἡπο-

Ἤ ποτε Μειλανίωνος ἐρασσαμένη φύγεν εὐνήν,
Παρθενίης ἀλέγουσα, χολωσαμένης δ' Ἀφροδίτης,
Τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
Πείθεο καὶ σὺ φίλη, μὴ Κύπριδι μῆνιν ἐγείρῃς.
Ὣς εἰπὼν παρέπεισεν ἀναινομένης φρένα κούρης,
Θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
Παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπήν,
Αἰδοῖ ἐρυθριόωσαν ὑποκλέπτουσα παρειήν,
Καὶ χθονὸς ἔξεσεν ἄκρον ἐπ' ἴχνεσιν· αἰδομένη δὲ
Πολλάκις ἀμφ' ὤμοισιν ἑὸν ξυνέεργε χιτῶνα.
Πειθοῦς γὰρ τάδε πάντα προάγγελα· παρθενικῆς δὲ
Πειθομένης ποτὶ λέκτρον ὑπόσχεσίς ἐστι σιωπή.
Ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων.
Θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρώ,
Κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
Ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὀμίχλην,
Τόφρα δὲ καὶ Λείανδρος ἐρωμανέεσσι προσώποις
Οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
Ὀψὲ δὲ Λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνήν,
Αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου.
Ξεῖνε, τεοῖς ἐπέεσσι τάχ' ἂν καὶ πέτρον ὀρίναις.
Τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
Ὤμοι, τίς σ' ἐκόμισσεν ἐμὴν ἐς πατρίδα γαῖαν;
Ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο· πῶς γὰρ ἀλήτης
Ξεῖνος ἐών, καὶ ἄπιστος, ἐμῇ φιλότητι μιγείης;
Ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι.
Οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν· ἢν δ' ἐθελήσῃς
Ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
Οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν Ἀφροδίτην.
Γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος· ἐν δὲ σιωπῇ
Ἔργον, ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.
Εἰπὲ δέ, μὴ κρύψῃς τεὸν οὔνομα, καὶ σέο πάτρην.





Οὐ γὰρ ἐμὸν σε λέληθεν· ἐμοὶ δ' ὄνομα κλυτὸν Ἡρώ.
Πύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης,
Ὧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ,
Σηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας,
Γείτονα πόντον ἔχω στυγεραῖς βουλῇσι τοκήων.
Οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες, οὐδὲ χορεῖαι
Ἠϊθέων παρέασιν, ἀεὶ δ' ἀνὰ νύκτα, καὶ ἠῶ
Ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
Ὣς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειήν,
Ἔμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύθοις.
Λείανδρος δὲ πόθου βεβολημένος ὀξέϊ κέντρῳ,
Φράζετο πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
Ἄνδρα γὰρ αἰολόμητις ἔρως βελέεσσι δαμάζει.
Καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται, οἷσι δ' ἀνάσσει,
Αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν.
Αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε Λεάνδρῳ.
Ὀψὲ δ' ἀλαστήσας, πολυμήχανον ἔννεπε μῦθον.
Παρθένε, σὸν δι' ἔρωτα, καὶ ἄγριον οἶδμα περήσω.
Εἰ πυρὶ παφλάζοιτο, καὶ ἄπλοον ἔσσεται ὕδωρ,
Οὐ τρομέω βαρὺ χεῦμα, τεὴν μεταδιόμενος εὐνήν,
Οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης,
Ἀλλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης,
Νήξομαι Ἑλλήσποντον ἀγάρροον, οὐχ ἕκαθεν γὰρ
Ἀντία σοῖο πόληος ἔχω πτολίεθρον Ἀβύδου.
Μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
Ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας,
Ἔσσομαι ὁλκὰς ἔρωτος, ἔχων σέθεν ἀστέρα λύχνον,
Καί μιν ὀπιπτεύων, οὐκ ὄψομαι δύοντα Βοώτην,
Οὐ θρασὺν Ὠρίωνα, καὶ ἄβροχον ὁλκὸν ἁμάξης,
Πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην,
Ἀλλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας,
Μή μιν ἀποσβέσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,

Λύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
Εἰ ἐτεὸν δὲ θέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
Οὔνομά μοι Λείανδρος ἐϋστεφάνου πόσις Ἡροῦς.
Ὡς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι,
Καὶ νυχίην φιλότητα, καὶ ἀγγελίην ὑμεναίων
Λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάσσαι.
Ἡ μὲν φάος τανύειν, ὁ δὲ κύματα μακρὰ περῆσαι·
Παννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων,
Ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ,
Ἡ μὲν ἑὸν ποτὶ πύργον, ὁ δ' ὀρφναίην ἀνὰ νύκτα,
Μήτι παραπλάζοιτο βαλὼν σημήϊα πύργου,
Πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου.
Παννυχίην δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους,
Πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην,
Ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὀμίχλη,
Ἀνδράσιν ὕπνον ἄγουσα, καὶ οὐ ποθέοντι Λεάνδρῳ,
Ἀλλὰ πολυφλοίσβοιο παρ' ἠϊόνεσσι θαλάσσης
Ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων,
Μαρτυρίην λύχνοιο πολυκλαύτοιο δοκεύων,
Εὐνῆς κρυφίης τηλεσκόπον ἀγγελιώτην,
Ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην
Ἡρὼ, λύχνον ἔφαινεν, ἀναπτομένοιο δὲ λύχνου,
Θυμὸν ἔρως ἔφλεξεν ἐπιγομένοιο Λεάνδρου.
Λύχνῳ καιομένῳ συνεκαίετο· παρ δὲ θαλάσσης
Μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων.
Ἔτρεμε μὲν τὸ πρῶτον, ἔπειτα δὲ θάρσος ἀείρας,
Τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις.
Δεινὸς ἔρως, καὶ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσσης
Ἐστὶν ὕδωρ, τὸ δ' ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.
Λάζεο πῦρ κραδίη, μὴ δείδιθι νήχυτον ὕδωρ.
Δεῦρό μοι εἰς φιλότητα. τί δὴ ῥοθίων ἀλεγίζεις;
Ἀγνώσσεις ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης,

Καὶ



Καὶ κρατέει πόντοιο, καὶ ἡμετέρων ὀδυνάων;
Ὡς εἰπὼν, μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
Ἀμφοτέραις παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ.
Ἠϊόνος δ' ἐξῶρτο, δέμας δ' ἔρριψε θαλάσσῃ,
Λαμπομένοιο δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνου·
Αὐτὸς ἐὼν ἐὼν ἐρέτης, αὐτόστολος, αὐτόματος νηῦς.
Ἡρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου,
Λευγαλέῃς αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης
Φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν, εἰσόκε Σηστοῦ
Πολλὰ καμὼν Λείανδρος ἔβη ποτὶ ναύλοχον ἀκτὴν,
Καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν· ἐκ δὲ θυράων
Νυμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
Ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης,
Ἤγαγε νυμφοκόμοιο μυχοὺς ἐπὶ παρθενεῶνος,
Καὶ χρόα πάντα κάθηρε, δέμας δ' ἔχρισεν ἐλαίῳ
Εὐόδμῳ ῥοδέῳ, καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
Εἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
Νυμφίον ἀμφιχυθεῖσα, φιλήνορας ἔννεπε μύθους.
Νυμφίε πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος ἄλλος.
Νυμφίε πολλὰ μόγησας, ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ,
Ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης.
Δεῦρο τεοὺς ἱδρῶτας ἐμοῖς ἐνὶ κάτθεο κόλποις.
Ὡς ἡ μὲν ταῦτ' εἶπεν· ὁ δ' αὐτίκα λύσατο μίτρην,
Καὶ θεσμῶν ἐπέβησαν ἀριστονόου Κυθερείης.
Ἦν γάμος, ἀλλ' ἀχόρευτος, ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων,
Οὐ ζυγίην ἱερὴν τις ἐπευφήμησεν ἀοιδὸς,
Οὐ δάδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνὴν,
Οὐδὲ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
Οὐχ ὑμέναιον ἄεισε πατὴρ, καὶ πότνια μήτηρ.
Ἀλλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις,
Σιγὴ παστὸν ἔπηξεν· ἐνυμφοκόμησε δ' ὀμίχλη,
Καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.

 Νὺξ

SISMANOGLIO

Νὺξ μὲν ἔην κείνοισι γαμοστόλος, οὐδέ ποτ' ἠὼς
Νυμφίον εἶδε Λέανδρον ἀειγνώτοις ἐνὶ λέκτροις.
Νήχετο δ' ἀντιπόροιο πάλιν ποτὶ δῆμον Ἀβύδου,
Ἐννυχίων ἀκόρητος ἔτι πνείων ὑμεναίων.
Ἡρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας,
Παρθένος ἠματίη, νυχίη γυνή· ἀμφότεροι δὲ
Πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.
Ὣς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
Κρυπταδίη τέρποντο μετ' ἀλλήλων Κυθερείη.
Ἀλλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον, οὐδέτι δηρὸν
Ἀλλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων.
Ἀλλ' ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη,
Φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας,
Βένθεα δ' ἀστήρικτα, καὶ ὑγρὰ θέμεθλα θαλάσσης
Χειμέριοι πνείοντες ἐπεστυφέλιζον ἀῆται,
Λαίλαπι μαστίζοντες ὅλην ἅλα, τυπτομένης δὲ
Ἤδη νῆα μέλαιναν ἀπέλασε διχθάδι χέρσῳ,
Χειμερίην, καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
Ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
Καρτερόθυμε Λέανδρε, διακτορίη δέ σε πύργου,
Ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
Μενομένοις σ' ὤτρυνεν ἀφειδήσαντα θαλάσσης
Νηλειής, καὶ ἄπιστος· ὄφελλε δὲ δύσμορος Ἡρὼ,
Χείματος ἱσταμένοιο, μένειν ἀπάνευθε Λεάνδρου,
Μηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων.
Ἀλλὰ πόθος, καὶ μοῖρα βιήσατο. θελγομένη δὲ,
Μοιράων ἀνέφαινε, καὶ οὐκέτι δαλὸν ἐρώτων.
Νὺξ ἦν, εὖτε μάλιστα βαρυπνείουσιν ἀῆται,
Χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται.
Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Δὴ τότε Λείανδρός περ ἐθήμονος ἐλπίδι νύμφης,
Δυσκελάδων πεφόρητο θαλασσείων ὑμεναίων.
Ἤδη



Ἤδη κύματι κῦμα κυλίνδετο, συνέχετο δ' ὕδωρ.
Αἰθέρι μίσγετο πόντος· ἀνέγρετο πάντοθεν ἡ γῆ
Μαρναμένων ἀνέμων. Ζεφύρῳ δ' ἀντέπνεεν Εὖρος,
Καὶ Νότος ἐς Βορέην μεγάλας ἐφέηκεν ἀπειλάς.
Καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγδοιο θαλάσσης.
Αἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
Πολλάκι μὲν λιτάνευσε θαλασσαίην Ἀφροδίτην,
Πολλάκι δ' αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης,
Ἀτθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης.
Ἀλλά οἱ οὔτις ἄρηγεν. Ἔρως δ' οὐκ ἤρκεσε μοίρας.
Πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ.
Θρυπτόμενος πεφόρητο, ποδῶν δέ οἱ ὤκλασεν ὁρμὴ
Καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων.
Πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔρρεε λαιμῷ,
Καὶ ποτὸν ἀχρήϊστον ἀμαιμακέτου πίεν ἅλμης.
Καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης,
Καὶ ψυχὴν, καὶ ἔρωτα πολυκλαύτοιο Λεάνδρου.
Εἰσέτι δ' ἰθύνοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς
Ἵστατο κυμαίνουσα πολυκλαύτοισι μερίμναις.
Ἤλυθε δ' ἠριγένεια, καὶ οὐκ ἴδε νυμφίον Ἡρώ,
Πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Εἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην.
Λύχνου σβεννυμένοιο, παρὰ κρηπῖδα δὲ πύργου
Θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην,
Δαιδάλεον ῥήξασα περὶ στήθεσσι χιτῶνα,
Ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου,
Καδδ' Ἡρὼ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ.
Ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

ΥΠΟ-

# ΥΠΟΘΕΣΙΣ
# ΤΗΣ ΓΑΛΕΩΜΥΟΜΑΧΙΑΣ.

Τοῦ Μυῶν κυρεύοντος ἐν ὀπῇ τινι ζοφώδει, καὶ κατεσκιασμένῃ προσμένοντος, Κρεΐλλου κατωνομασμένου, καὶ τῆς Γαλῆς τῇδε κἀκεῖσε δρομαίως περιβλεπούσης, καὶ τὸν τοῦδε συνήθως δρόμον ἀνιχνευομένης, ὁ Κρεΐλλος μὴ φέρων ταύτης τὴν διηνεκῆ περισκόπευσιν, τῷ τούτου ὁμαίμονι προσελθών, ὃς τὴν τοῦ Τυροκλόπου ἀξίαν αὐτῷ περιέφερε, καὶ τούτῳ συμβούλῳ χρησάμενος, ᾧτινι τρόπῳ ταύτην κατατροπώσεται, πόλεμον ἄσπονδον κατ' αὐτῆς δεδρακέναι μεμελετήκασι. Καὶ δὴ πλείστων Μυῶν ἀθροισμὸν συνηθροικότες ἀμφότεροι, καὶ τοῦτο νενουθετηκότες, καὶ πάμπλειστα παροξυνόντες, ἡβηδὸν παρελθὸν, πρὸς αὐτὴν ἀντεξήεσαν. Καὶ δῆτα προσκεκρουκότες ἑκάτεροι, τὸν τοῦ Κρεΐλλου υἱὸν ἡ Γαλῆ κρατήσασα, καὶ τοῖς ὄνυξι ταύτης ἀγρίως σπαράξασα, παραυτίκα τὸν νεανίαν εἰσβέβρωκεν. Ἄγγελος δὲ τῶν Μυῶν καθεωρακὼς τὸ γινόμενον, εὐθέως πρὸς τὴν δάμαρτα τοῦ Κρεΐλλου ὑπέστρεψε, μηνύσων αὐτῇ τὸν τοῦ προσφιλεστάτου παιδὸς χαλεπώτατον θάνατον. Τούτων τοίνυν ἐπιπολὺ μαχομένων, ξύλον κατελθὸν σεσημμένον ἐξ ὑπερτάτης στέγης, τὰ νεῦρα τῆς Γαλῆς κατέθλασε, καὶ νικηταὶ τῆς μάχης οἱ Μῦες ὠράθησαν.

ΓΑ-



# ΓΑΛΕΩΜΥΟΜΑΧΙΑ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

| | |
|---|---|
| ΚΡΕΙΛΛΟΣ. | ΧΟΡΟΣ ΘΕΡΑΠΑΙΝΙΔΩΝ. |
| ΤΥΡΟΚΛΟΠΟΣ. | ΟΜΕΥΝΕΤΗΣ ΚΡΕΙΛΛΟΥ. |
| ΚΗΡΥΞ. | ΑΓΓΕΛΟΣ. |

Κρεΐλ. Τί τὸν τοσοῦτον ἀνδρικώτατοι χρόνον
Μένοντες εἴσω τῶν ὀπῶν ἀεννάως,
Δείμῳ συνέσμεν καὶ φρίκῃ, καὶ δειλίᾳ,
Καὶ δυσμόρως δίεμεν οἰκεῖον βίον;
Μηδὲ προκύψαι τῆς ὀπῆς ἠρημένοι,
Ἀλλ' οἰκτρότατοι, καὶ φόβου πεπλησμένοι,
Βίον σκοτεινὸν ἀθλίως μυωξίαις
Ζῶμεν, καθάπερ οἱ πεφυλακισμένοι;
Καὶ νύκτα τὸν σύμπαντα τοῦ χρόνου δρόμον
Μακρὰν δοκοῦμεν, καὶ σκιὰν τοῦ θανάτου,
Ὡς οἱ ζοφώδεις κιμέριοι τοῦ λόγου,
Οἱ ποντικῶν ἔχοντες ἀμβλυωπίαν,
Ζόφωσιν ἐξάμηνον εἶλκον τοῦ βίου;
Τυροκ. Κἂν μὴ θέλωμεν, ἐσμὲν ἐν μυωξίαις.
Εἰ γὰρ προελθεῖν, ὡς λέγεις, θαρσαλέως
Τολμήσομεν, βαίνοντες ἀσχέτῳ δρόμῳ,
Τάχις ἂν ἐμπέσοιμεν αἰπεῖ κινδύνῳ,
Καὶ πρὸ ὀμμάτων ἴδοιμεν οἰκεῖον μόρον,
Καὶ τὸν σκοτεινὸν ἀϊδωνέως τύπον
Λάβοιμεν ἀντίποινον ἀκρατωσύνης.
Κρεΐλ. Πῶς γοῦν παρεμπέσωμεν, ὡς φὴς, κινδύνῳ
Καὶ τὸν βίον βλέπωμεν, ἀθλίῳ μόρῳ;

Τυ-

Τυροκ. Ληφθέντες εἴσω τῶν φρικωδῶν χειλέων
Τῆς ἅρπαγος Κρεΐλλε τῆς δολοπλόκου.
Κρεΐλ. Τίς ἐστιν αὕτη; μὴ φθονήσῃς τοῦ λέγειν.
Οὐ γὰρ προχείρως τῷ σκοπῷ περιστρέφω.
Τυροκ. Ἣν Γαλῆν ὠνόμασεν ἀνθρώπων γένος.
Αὕτη γὰρ αἰεὶ χηραμὸν περιβλέπει,
Καὶ Μῦς ἐρευνᾷ, καὶ καθώσπερ οἱ κύνες
Ἰχνηλατοῦσι τοὺς λαγωοὺς ποικίλως,
Τὸν αὐτὸν αὕτη σκανδαλοπλόκως τρόπον
Ἡμᾶς διϊχνεῖ, λυγγικὸν βλέπουσά τι.
Κρεΐλ. Οἶδ᾽ ἥνπερ ἡρμήνευσας ἀκριβεστάτως.
Καὶ γὰρ πρὸ καιροῦ τὴν ἐμὴν θυγατέρα,
Λυχνογλύφην δέ φημι τὴν πεφιλημένην,
Οἰκτρῶς κατημάλαξε, φεῦ μοι πρεμμάτων.
Τυροκ. Κἀμοῦ τὸ τέκνον τὴν φίλην Χορδοκόπον,
Καὶ τὸν ποθεινὸν Σιτοδάρπην, καὶ φίλον,
Εἰς ἐκδίκησιν τῆς ἀδελφῆς ἐλθόντα.
Κρεΐλ. Τί οὖν κατωκνήσαμεν ὡς θηλυδρίαι,
Καὶ παρέδομεν τὸν φόνον τῶν φιλτάτων;
Τυροκ. Καὶ τί προσῆκον ἐργάσασθαι τυγχάνει;
Κρεΐλ. Εἰς ἀντάμειψιν ἀπιδεῖν τῆς παμφάγου,
Καὶ τῶν θανόντων ἐκδικῆσαι τὸν μόρον.
Τυροκ. Ποίῳ τρόπῳ; κάτειπε σὺ σαφήνισει.
Κρεΐλ. Μόθον πρὸς αὐτὴν ἀτρόμως τετευχότες.
Τυροκ. Δέδοικα, καὶ πέφρικα, μὴ ἐσφαγμένοι
Χ᾽ ἡμεῖς φανῶμεν, καὶ καταβεβρωμένοι,
Καὶ κύρμα Γαλῆς, φεῦ, γενώμεθα ξένον.
Κρεΐλ. Καὶ τοῦτο δῶχ᾽ ἕκητι τῶν τεθνηκότων.
Καὶ γὰρ γινώσκεις τοὺς γραφεῖς αἰνουμένους,
Τῶν συγγενῶν ἕκητι, καὶ τῶν γνωρίμων,
Παίδων, ἀδελφῶν, γνωρίμων, φυτοσπόρων,
Θανόντας ἀπλήρωτον ἕλκοντας κλέος,
Τυ-



Τυροκ. Ἴσημι πάντως· ἀλλὰ δεινὸν τυγχάνει
Λιπεῖν τὸ λαμπρὸν στάδιον τῆς ἡμέρας,
Καὶ τῷ σκοτεινῷ συγκαλυφθῆναι τάφῳ.
Κρεΐλ. Οὐκ οἶδας, ἣν μέγιστον ἄρωμεν κράτος,
Καὶ πικροτάτῳ τήνδε δώσωμεν μόρῳ.
Τυροκ. Ὁ τῷ τρόπῳ Συνάιμε; σαφήνιζέ μοι.
Κρεΐλ. Αὐτῇ μαχησμὸν συστάδην δεδρακότες.
Τυροκ. Κρειττόν μοι δοκεῖ συμβαλεῖν λαθραιδίως.
Κρεΐλ. Ποία δ᾽ ὄνησις λάθρα τοῦ προσιέναι;
Τυροκ. Εἰ γὰρ προγνώσει τῷ δόλοις προσανέχειν
Ὡς εἰς μαχησμὸν αἱρετὸν συνεστάναι,
Καὶ συμμάχων ὅμιλον εἰς αὐτὴν λάβῃ,
Καὶ συμβαλοῦσα, τηνικαῦτα τὸ στέφος,
Ἄρει, παραπαύσασα τὴν ἡμῶν ἴλην.
Κρεΐλ. Χ᾽ ἡμεῖς κατ᾽ ἴσον συμμάχων ὁμηγύρει
Λάβωμεν εἰς ἄρηξιν ὡς εἰθισμένον.
Τυροκ. Οὐκ οἶσθα πῶς πρὶν συνιστῶντες τὸν μόθον
Πρὸς τὸ στράτευμα τῶν Γαλῶν, καὶ Βατράχων.
Καὶ συμμάχων εἴχομεν κράτιστον νέφος;
Κρεΐλ. Ἴσημι πῶς κάκιστον εἴδομεν μόρον
Παίδων, ὁμαίμων, γνωρίμων, φυτοσπόρων,
Μικροῦ δ᾽ ἀπολώλαμεν ἡμεῖς τῷ τότε.
Τυροκ. Δέδοικα καὶ νῦν μὴ θάνωμεν τῷ βόθρῳ.
Κρεΐλ. Οὐ νὴ θεῶν πλήρωμα τῶν ἐνυπνίων.
Ἄελπίς εἰμι, καὶ γὰρ ἐξ ὀνειράτων.
Τυροκ. Τί οὖν ὄνειρον ἐμφανῶς ἑώρακας;
Κρεΐλ. Ὁ Ζεὺς γὰρ ὤφθη κατ᾽ ὄναρ κνώσσοντί μοι,
Καὶ θάρσος ἐντέθεικε τῇ μῇ καρδίᾳ,
Καὶ χαῖρε, λεῖψη, προσαπεφώνηκε, κράτος.
Τυροκ. Τίνι προσωμοίωτο; καὶ τοῦτο φράσον.
Κρεΐλ. Τῷ Τυρολείχᾳ τῷ φρονίμῳ πρεσβύτῃ.
Τυροκ. Πῶς δ᾽ οὐκ ἐπ᾽ ἄλλον ὡράθη σοι τὸν χρόνον;
Κρεΐλ.

SISMANOGLIO

Κρεϊλ. Ἐμαῖς ἀπειλαῖς ὠράθη πτοιαλέως.
Τυροκ. Τί γοῦν ἐπηπείλησας αὐτῷ τῷ πόλον
Οἰκοῦντι, καὶ λέγοντι τοῖς ἀθανάτοις,
Πυρὰν μεγίστην ἐξανάψαι, τοῦ πόλου,
Καὶ πάντας ἕλξαι χειρὶ πανσθενεστάτῃ;
Κρεϊλ. Καὶ ταῦτες ἠπείληκα τούτῳ μυεία.
Καὶ γὰρ καθ' αὐτὴν ἱστορῶν μου τὸν βίον,
Ὅπως μένων ἔσωθεν οἰκτρῶς γωνίας,
Ὅλος σκοτεινός εἰμι, καὶ ζόφου γέμων,
Καὶ δεῖμα δεινὸν δέδειμαι ναὶ, καὶ τρέμω,
Ζῶον πενιχρὸν ἔμπλεων ἀηδίας,
Ὤμωζον, ὠλόλυζον, ἠθύμουν μέγα,
Ἔκοπτον, ἐσπάραττον οἰκείαν γένυν,
Καὶ τὸν Θεῶν ὕπατον ὕβριζον Δία,
Καὶ προσέθεικα τοῖς στεναγμοῖς σὺν χόλῳ
Δεινὰς ἀπειλὰς παντελῶς δειμαλέως.
Τυροκ. Τί γοῦν ἐπηπείληκας; εἰπὲ καὶ τόδε.
Κρεϊλ. Ὡς εἴπερ οὐ θήσει με νικητὴν μέγαν,
Καὶ παγκράτιστον τῇ μάχῃ στεφανίτην,
Τάχα προσελθὼν ἐς ναὸν τῶν θυμάτων,
Ἅπαντα θήσω πρὸς τροφὴν τῆς κοιλίας.
Τυροκ. Κἀγὼ συνέλθω σὺν συνεύνῳ, καὶ τέκνοις.
Ἀλλ' ὡς ἔοικε τὸν μῦθον καθιστέρει.
Κρεϊλ. Ναὶ δῆτα, καὶ σύμπαντας ἀρτίως Μύας
Κεκληκέναι πρόσμελλον εἰς ἐκκλησίαν.
Τυροκ. Οὐ νῦν ἐπεὶ δέοιτο τοῦ φοιτημίῳ
Ἀπαλλαγῆναι τοῦ σκοτοκρύπτου βίου,
Ἐλευθερωθῆναί τε Γαλῶν τοῦ φόβου,
Τοὺς Μῦς ἅπαντας ἀρτίως συγκλητέον.
Καὶ πρῶτον εἰς κάταρξιν ἰτέον λόγων,
Ἐπιτρεπόντων προσφέρειν εὐτολμίαν.
Ἢ καὶ στρατηγοὺς στρατηγῶν εἰργακότες,
Καὶ

SISMANOGLIO



Καὶ ταξιάρχας, καὶ λοχαγοὺς, ὡς θέμις,
Λογχηφόρους τε, καὶ κραταιοὺς ὁπλίτας.
Ἀντεξίωμεν εἰς μόθον τεταγμένοι.
Κρεϊλ. Καλῶς προσέφης, καὶ σοφῶς, καὶ κοσμίως.
Καὶ γὰρ τὸ γῆρας νουθετεῖ καὶ σωφρόνως.
Κῆρυξ ἴτω δὲ, καὶ καλείτω τοὺς Μύας.
Κῆρυξ. Ἰδοὺ πάρεισι Μύαρχοι συνηγμένοι,
Καὶ σῷ παρεστήκασι βουλευτηρίῳ.
Κρεϊλ. Ἐγὼ μὲν ὦ σύνταγμα γενναίων φίλων
Εὔεικτον εὐόμιλον ἐκ πολλοῦ χρόνου
Πολλὴν καταγνοὺς τῶν πάλαι πεφυκότων
Τὴν ἀσθένειαν, καὶ κακίστην δουλείαν,
Ἀνθ' ὧν περ εἴσω φωλεῶν μυχαιτάτων
Μένοντες, οὐκ ἄτολμον εἶχον καρδίαν.
Ἀλλ' ὡς κλινήρεις, καὶ μέλη παρειμένοι
Ἔπτησαν ἐλθεῖν εἰς μάχην ἐναντίων.
Ἤδη στρατεύειν ἱστορῶ θαρραλέως.
Οὐ γὰρ προσῆκόν μοι δέδοκτο, καὶ φίλον,
Σθένος φέροντι, καὶ κρατοῦντι μυείων,
Πομπὰς τελοῦντι, καὶ κρότοις ὑμνημένῳ,
Τρέμειν προελθεῖν τῆς ἐμῆς μυωξίας.
Ὑμεῖς δ' ἑτοίμως τὸν λόγον δεδεγμένοι,
Ὡς εὐγενῶν πέλοντες ἐκ φυτοσπόρων,
Καὶ πανσθενῶς ἔχοντες αὐτῶν τοὺς πόνους,
Μὴ νωχελεῖς γένησθε πρὸς τὰ πρακτέα,
Μηδ' ὀκνήσητε μηδαμῶς, ὦ γεννάδαι,
Ἀλλ' ὡς τάχισθ' ἅπαντες, ὦ θεῖοι Μύες,
Ἴτε προθύμως εἰς νέαν στρατηγίαν,
Ζῆλον λαβόντες τῆς ἐμῆς ἐξουσίας.
Ἐγὼ γὰρ οὐκ ὤκνησα πώποτ' εἰς μόθον.
Ἀλλ' ὡς ἀληθῆ ἐκ νέας ἡλικίας,
Εἰς τὸ στρατηγεῖν ἀνδρικῶς ἐτραπόμην,
Πά-

Πάσαις δὲ πάντῃ προσβολαῖς ἐπεκράτουν.
Γόνους γὰρ φυεὶς εὐγενοῦς ἐξ ὀσφύος,
Ὡς ἴστε πάντες τὰ πάλαι θρυλλούμενα,
Ἐπὶ δυνάμει, καὶ φρενῶν γερουσίᾳ,
Ἐμοὺς γονεῖς ἕλκοντας ἄπλετον κλέος,
Τοὺς Χαρτοδάπτας ὠνομασμένους λέγω,
Οὐκ ἠθέλησα ζῆν τὸν ἄπονον βίον.
Ἀλλ' εἰς μάθησιν τῶν στρατηγικωτάτων
Ἀπεῖδον εὐθὺς ἐκ νέου μειρακίου,
Ἤσκησα κοντὸν, καὶ σπάθην σὺν ἀσπίδι,
Βαίνειν ἐφ' ἵππους, καὶ στρέφεσθαι ποικίλως,
Βάλλειν τὸν ἐχθρὸν εὐστόχως, καὶ καιρίως,
Τείνειν τὸ τόξον, καὶ τὸν ἰὸν ἱέναι,
Καὶ πᾶσαν ἁπλῶς τὴν στρατηγίαν τέχνην
Μετῆλθον, ὡς ἅπαντες οἱ στρατηλάται.
Μόθων δὲ πολλῶν ἐγκρατὴς δεδειγμένος,
Καὶ πλεῖστα δοῦλα τῆς ἐμῆς ἐμπειρίας
Ἔθνη δεδειχὼς, ἦλθον εἰς μυαρχίαν,
Πάντων ἄριστος, καὶ μέγας κεκριμένος.
Καὶ νῦν δὲ παγκάκιστον ἔγνων τυγχάνειν,
Τὸν ἀνθάμιλλον τοῦ Διὸς, καὶ τῆς Ῥέας
Ζῶον τρέμειν τι μικρὸν ἠθλιωμένον.
Τοίνυν κελεύω τοὺς ἐμοὶ πεφιλμένους,
Ἅπαντας εἰς σύνταξιν ἐλθεῖν τῆς μάχης,
Στεῤῥῶς κραταιῶς, εὐσθενῶς, εὐκαρδίως,
Σοφῶς, ἐναργῶς, εὐφυῶς ὡπλισμένους.
Τανῦν δὲ λοιπὸν, ἴτε πρὸς τὰς οἰκίας,
Τὴν αὔριον δ' ἕωθεν ὦ στρατηλάται,
Πάντα κινῆσαι βούλομαι θαῤῥαλέως.
Δοκεῖ γὰρ οὕτω συμφέρειν πρὸς τὸ πέρας.
Τυροκ. Ἐπείπερ ἤδη πάντες εἰς τὰς οἰκίας
Ἀπῆλθον, ὥρα τοῦ καθευδῆσαι κλίνῃ,
Ἄπει-



Ἄπειμι κἀγὼ πρὸς κλίνην τὴν ἰδίαν.
Κρεῖλ. Εἴρηκας ὀρθῶς· τοιγαροῦν πειρατέον.
Χορός. Ὢ ποῖον ἄλγος νῦν κρατεῖ με, καὶ θλίβει.
Ὦ Ζεῦ τί τοῦτο τῆς παρούσης ἡμέρας;
Δεινὸς λογισμὸς ἔσχε μου τὸν δεσπότην,
Γαλῇ προσάψαι μῶλον οὐ λαθραιδίως.
Δοκῶ γὰρ αὐτὸν σὺν πάσῃ στρατηγίᾳ
Θανεῖν, λιπόντα τὸν φαεσφόρον λύχνον.
Ἄπολλον, ἀγνόμαντι, φοῖβε, λοξία.
Τί τοῦτο, τοῦτο; φεῦ, παπαὶ, φεῦ μοι πάλιν.
Ἰαπαταιὰξ, ὦ πόνων ἰαλέμων.
Αἶ, αἶ, ἰοὺ, ἰοὺ, ὢ κακῶν πονημάτων.
Ὁμβρ. Ἴσως κρατήσει τὴν μάχην κατακράτος.
Χορός. Ἄπιστ' ἄπιστα, καινὰ καινά μοι λέγεις.
Τὸ τοῦ Διὸς θέλημα νῦν ὑπαρξάτω.
Τυροκ. Ὁρῶ θέουσαν ἐξ ὑέλων ἡμέραν.
Κρεῖλ. Καὶ μὴν κἀγὼ δέδορκα τὴν λαμπηδόνα.
Τυροκ. Καὶ τοιγαροῦν λίποιμεν ὕπνον, καὶ κλίνην.
Ὄϊς δὲ, καὶ βοῦς τοῖς θεοῖς τεθυκότες,
Πρὸς τὸν μαχησμὸν ἐξίκωμεν ἀτρόμως.
Δεῖ γὰρ πρὸ πάντων ἱλεοῦν τοὺς ἐν πόλῳ.
Κρεῖλ. Ἰδοὺ θύσαντες ἐκκαλοῦμεν τὸν Δία,
Καὶ τὴν Ἀθηνᾶν, καὶ τὸν Ἑρμῆν, καὶ Πᾶνα,
Καὶ τὸν Ποσειδῶ, καὶ τὸν ἁγνὸν Δοξίαν,
Ἥραν σὺν αὐτοῖς, Ἄρτεμίν τ' ὀρειβάτιν.
Πλούτωνα, Λητὼ σὺν Ἅδῃ Περσεφόνην.
Καὶ πάντας ἄλλους· καὶ περοῦμεν τὸν πόδα.
Χορός. Ὦ πάντες, ὦ σύμπαντες, ὦ Θεοὶ μόνοι,
Ὅσοι τ' ἄνωθεν, καὶ κάτω κληρουχίαν
Ἔχοντες, ἐστὲ τῶν καλῶν χορηγέται,
Πρόστητε, ναὶ πρόστητε, καρτερωτάτως,
Τῶν δεσποτῶν μου τὴν νέαν στρατηγίαν.

Καὶ τῶν τελεύτων πρὸς τὸ παμφάγον γένος.
Ὁ μευν. Νῦν εἴθε νικήσειαν ὦ Ζεῦ τῷ μόθῳ
Ἐμοὶ στρατηγοὶ καὶ σαύδυνος, καὶ τέκνον.
Χορός. Καλὸν τὸ νικᾶν, ἀλλὰ δειλία μ᾽ ἔχει.
Ὁ μευν. Κἀγὼ δέδοικα, καὶ τρέμω κατακράτος.
Χορός. Δεινὸν γάρ ἐστι δυσμενῶν ἀνδρεία.
Ὁ μευν. Ὦ Ζεῦ βασιλεῦ χρηστὸν ἔργασαι μόθον.
Χορός. Ἀεὶ τὸ Θεῖον τῶν καλῶν ἄπαν νέμει.
Ὁ μευν. Εἰ μὲν κρατήσειν τῶν Μυῶν αἱ πληθύες
Ἐξισχύσουσι τῆς ἐναντιουμένης,
Εὖ ἂν τὸ λοιπὸν ἀνύσαιμεν τοῦ βίου,
Καὶ τὸν φόβον ῥίψαιμεν ὡς πορρωτάτω.
Χορός. Ναὶ δὴ γένοιτο τοῦτο σὺν Θεῷ λέγω.
Ὁ μευν. Εἰ δ᾽ ἥττονες γένοιντο τῆς ἐναντίας,
Καὶ πρὸς φυγὴν βλέψωσιν ὡς τετραμμένοι,
Ἅπαντα φροῦδα προσγενήσεται τάχα.
Χορός. Ὡς εἴθε μὴ γένοιτο, μηδ᾽ ἔσοιτό μοι.
Ὁ μευν. Καὶ πᾶς γένηται δοῦλος αἰχμαλωσία.
Χορός. Οὐκ, ἀλλὰ δεινὸν βρῶμα τῆς ἐναντίας.
Ὁ μευν. Κἀγὼ δὲ δούλη παισὶ σὺν τοῖς φιλτάτοις,
Ἢ πρὶν κυρία προσφανήσομαι τάχα.
Χορός. Ἥκιστα δούλη σὺ γενήσῃ σὺν τέκνοις,
Ἀλλ᾽ ὡς ἀληθῶς βρῶμα τῆς ἀδδηφάγου.
Ὁ μευν. Τί γοῦν; προλίπω τὸ γλυκύτατον φάος,
Καὶ συγκαλυφθῶ τῇ κόνει ἐν τῷ τάφῳ;
Χορός. Σίγα δέσποινα, δεινόν τι βλέπω.
Καὶ μῦν ὁρῶ θέοντά τιν᾽ ἐσπασμένον,
Καὶ πυκνὸν ἀσθμαίνοντα, καὶ πεπληγμένον.
Ἄγγελ. Κυρία ποῦ πάρεστι; τίς δηλωσάτω;
Χορός. Ἔξεστί σοι θέλοντι ταύτην εἰσβλέπειν.
Ἄγγελ. Τάλαινα, παντάλαινα, καὶ τρισαθλία.
Πέπτωκε τρωθεὶς ὁ Ψιχάρπαξ ἐν μάχῃ.





Ὁ μευν. Ὦ τοῦ ποθεινοῦ, καὶ πεφιλημένου τέκνου.
Πέπτωκεν οἴμοι τοῦ γήρως βακτηρία.
Ὦ τῶν πόνων, ὦ τῶν πόνων ἰαλέμων.
Παῖ, παῖ, τὰ πάντα δεινὰ τῶν ἀγγελμάτων.
Ἰοὺ θανοῦμαι, τίς γένωμαι; ποῦ φύγω;
Πᾶ βῶ; παρεῖμαι τῶν μελῶν ἀῤῥωστίας.
Ὦ παῖ, παπαὶ, παῖ, φιλτάτη θεωρία.
Χορός. Τέτλαθί μοι, τέτλαθι, παῦσαι τῶν γόων.
Ὁ μευν. Ὦ Ζεῦ ταναῷ διφρουτιτανοτρέπον.
Χορός. Αἲ αἲ τάλαινα μῆτερ ἠθλιωμένη,
Ἐπίσχες ἄρτι τοὺς ἀπειρίτους γόους.
Ὁ μευν. Ὦ φιλτάτη πρόσοψις, ὦ παῖ μοι φίλε.
Χορός. Φέρειν πρέπον σοι τὴν ἄπειρον ἀνίαν.
Μαθεῖν δὲ λοιπὸν τὰ πίλοιπα τοῦ μόθου.
Ὁ μευν. Ἀλλ᾽ οὐ σθένω χεῖν τοῦ πόνου τὴν πικρίαν.
Χορός. Τίς νῦν ὄνησις ἐκ γόων ἀμετρίας;
Ὁ μευν. Αὐτὴν διαχρήσαιμι, καὶ τάχει θάνω.
Χορός. Μὴ δῆτα τοῦτο, μηδὲ συστρέφειν θέλε.
Ὁ μευν. Καὶ πῶς ἀνεκτὸν μὴ πεφύρθαι, καὶ στένειν.
Χορός. Τί δὲ στένουσα τοὺς λογισμοὺς κουφίζεις;
Οὐδεὶς θανόντας ἐξεγείρει τοῦ τάφου.
Ὁ μευν. Παυθεῖσα τί πράξαιμι τῶν στεναγμάτων;
Χορός. Μαθεῖν θέλησον τἀπίλοιπα τοῦ μόθου.
Ὁ μευν. Καὶ τίς κατείπῃ ταῦτα, καὶ σαφηνίσῃ;
Χορός. Ὁ τῶν παρόντων ἄγγελος ἀγγελμάτων.
Ὁ μευν. Καὶ ποῦ πάρεστιν;
Χορός. Εἰσορᾶν ἔξεστί σοι.
Ὁ μευν. Ἐκ τοῦ πάθους ὄλωλα, καὶ συνετρίβην,
Καὶ τὰς κόρας ἤμβλυνα τὰς τῶν ὀμμάτων.
Χορός. Ἅπαν λέγ᾽ ἀκίνητον ἀγγελιφόρε,
Ὅπως μὲν ἐστι τῆς μάχης ἡ τραχύτης,
Καὶ πῶς ὡς παῖς πέπτωκε, καὶ παρεῤῥύη.

Ἄγγελ. Εἴπω καθεξῆς; ἢ τέμω τὰς ἐμφάσεις;
Χορός. Ἑξῆς ἅπαν ἔξειπε συμβὰν τῇ μάχῃ,
Αὐτῆς ἀπ' ἀρχῆς τὸν λόγον διεννέπων.
Ἄγγελ. Εἴπω τὰ πάντα, τοιγαροῦν ἀκουστέον.
Ἐπεὶ γὰρ εἰς σύμμιξιν ἦλθον τῆς μάχης.
Πρῶτον μὲν ὁ κράτιστος ἐθνοσατράπης,
Ὁ Ψιχολείχης συμβαλὼν τῇ παμφάγῳ,
Ἥττηται, καὶ πέπτωκεν, οἰκτρὰ τις θέα,
Καὶ πᾶσα τούτῳ στρατιὰ διεφθάρη.
Ἔπειτ' ἐπῆλθεν, ἄλλος ἀρχισατράπης,
Ὃς παῖς ὠνόματο Κωληκοκλόπος,
Καὶ ταὐτὸν αὐτῷ πτῶμα πέπτωκε ξένον,
Οὐδ' ὑπομείνας προσβολὴν βραχυτάτην.
Ὡς γοῦν ἑώρα τοὺς κραταιοὺς Σατράπας
Ἤδη προσόντας ὁ Ψιχάρπαξ, καὶ βόσιν
Οἰκτρὰν φανέντας σὺν στρατῷ τῇ παμφάγῳ,
Ὀργῆς ἐπλήσθη, καὶ χόλου βαρυτάτου.
Θυμοῦ γὰρ οὐδὲν ἐστιν ἄλλο πικρία,
Εἰ μὴ ζέσις τις αἵματος πρὸς καρδίαν.
Λαβὼν δὲ κοντὸν χερσὶν ἐστομωμένον,
Ἐπῆλθεν αὐτῇ τοῦ τεθανατωκέναι.
Ἡ δ' εἰσιδοῦσα τοῦτον ἡτοιμασμένον,
Ἐκ τοῦ συνέγγυς πρὸς σφαγὴν ἑστηκότα.
Καὶ κοντῷ ἐκτείνοντα καρτερωτάτῳ,
Ὥρμησεν αὐτὸν συλλαβεῖν παραυτίκα.
Καὶ δὴ κατεῖχε τοῖς ὄνυξιν ἀγρίως,
Καὶ σὺν τάχει βέβρωκε τὸν νεανίαν,
Χορός. Καὶ ταῦτ' ἐπ' ὄψει τοῦ φίλου Φυτοσπόρου.
Ὁμευν. Τὸ μεῖζον αὐτὸ τυγχάνει μοι τοῦ πάθους.
Ἄγγελ. Ἐγὼ δ' ἐπεὶ δέδορκα τοῦτο τὸ πρᾶγμα,
Προσῆλθον ὦ πότνια σοὶ πεφρακέναι.
Ὁμευν. Ὡς εἴθε μηδ' ἐπῆλθες ἀγγεληφόρε.

Μέ-



Μέγιστον ἦν μοι μηδόλως προσιέναι.
Οὐκ ἂν γὰρ ἀκμὴν τῷ πάθει συνεχέθην.
Ἄγγελ. Ἐγὼ μὲν οὖν ἄπειμι τὴν ὀπισθίαν.
Ὁμευν. Ἔλθοις κακῶν ἥκιστα μηνυτὴς πάλιν.
Χορός. Κακὸς κακῶς ὄλοιτο νῦν ὁ πυρφόρος.
Ὁμευν. Δέδοικεν ἡμᾶς πυρφορήσας τῷ λόγῳ.
Χορός. Ὢ ποῖον ἄνθος τῶν Μυῶν ἀπεκρύβη.
Ἐμοὶ δοκεῖ κάλλιστον εἶναι, καὶ πρέπον,
Συνθρηνον ᾆσαι παιδὶ τῷ πεπτωκότι.
Ὁμευν. Καλῶς ἔφησας. τοιγαροῦν θρηνητέον.
Χορός. Πρώτιστα σὺ κρότησον ἀρχὴν τοῦ πάθους.
Ὁμευν. Ἆ παπαὶ, παπαὶ, παῖ, παῖ, παπαὶ πολλάκις
Χορός. Παπαὶ Κρεῖλλε, παῖ, παῖ, παπαὶ δέσποτα.
Ὁμευν. Ἆ ἆ πόθι παῖ, ποῦ ποτ' ἀπέβης τέκνον;
Χορός. Ποῖ ποῖ καλυφθεὶς ἐξαπέπτης τοῦ βίου;
Ὁμευν. Ὢ ὢ πόθεν ποῖ τῶν πόνων ἰαλέμων;
Χορός. Ἰαλέμων ὢ, καὶ πάλιν ἰαλέμων.
Ὁμευν. Ἆ ἆ λέλοιπα τὸν λύχνον τῆς ἡμέρας.
Χορός. Ἅπανθ' ἅπαντα τοῦ βίου τέφρα, κόνις.
Ἁπαξάπαντα τοῦ βίου σκιὰ μόνον.
Ὁμευν. Οἶ οἶ προῆλθες ὦ Ψιχάρπαξ, ὦ τέκνον.
Χορός. Ἀρκεῖ, τολοιπὸν βαῖνε μὴ περαιτέρω.
Ἤδη βλέπω γὰρ ἄγγελον ταχυδρόμον.
Ὁμευν. Δέδοικα δεινὸν μὴ πάλιν τί μοι φράσῃ.
Χορός. Οὐκ ὦ σεβαστή.
Ὁμευν. Πῶς γὰρ οἶδας;
Χορός. Πῶς ἄρα
Φαιδρῷ προσώπῳ τὸν δρόμον διατρέχων;
Ὁμευν. Ὡς εἴθε χρυσὸν ἄγγελον Ζεῦ μοι προΐες.
Ἄγγελ. Ἡ δεσπότις πέφυκε ποῦ; τίς εἰπάτω;
Χορός. Πάρεστιν ἰδοὺ, καὶ θέλεις εἴπερ βλέπε.
Ἄγγελ. Πάγχρυσε φαιδρὰ, μὴ τεθλιμμένη γίνου,



Κα-

Κἀμοὶ βράβευε δῶρα τῶν ἀγγελμάτων.
Ὁ μῦς. Ἔξειπε, μὴ χλεύαζε κομπορημόνως.
Ἄγγελ. Ἄν μοι νέμῃς πρώτιστα δῶρα τοῦ λόγου.
Ὁ μῦς. Εἰπόντι δώσω, καὶ παράσχω συντόμως.
Ἄγγελ. Τέθνηκεν ἡ πάλαινα Γαλῆ τῷ μόθῳ.
Ὁ μῦς. Ἃ ἂ προτήσω, καὶ χαρίσομαι πλέον.
Ἄγγελ. Νικησάτω γὰρ ἡ χαρὰ τὴν ἀνίαν.
Ὁ μῦς. Ὑφ' ἡδονῆς μέγιστον ὀρχοῦμαι πάνυ.
Χορός. Τὸ τοῦ μόθου πρότερον μάθωμεν φίλη,
Καὶ πῶς τέθνηκε δυσμενὴς μυοκτόνος.
Ὁ μῦς. Ἐξειπάτω δὴ πᾶσαν ἀγγελιαφόρος
Τὴν συγκρότησιν τῆς μάχης, καὶ τὸν μῶλον
Τῆς αἰγειωποῦ, καὶ κακῆς μυοκτόνου.
Χορός. Ἡ δεσπότις λέλακε, τὴν γλῶτταν κρότει.
Ἄγγελ. Ἰδοὺ τὸν Ἑρμῆν εὐτρεπίζω τοῦ λόγου.
Ὑμεῖς δ' ἑτοίμως ὠσὶν οὖσιν ὀρθίοις,
Ἐνωτίσασθε τῶν ἑρμηνευμάτων.
Ὡς γοῦν ὁ δεινὸς σωματοφθόρος μόθος
Ἔσχηκεν ἀρχὴν προσβολῆς εὐκοσμίας,
Καὶ πρῶτον μὲν πέπτωκεν Ἐθνοσατράπης
Ὁ Ψιχολείχης, εἶθ' ὁ Κωληκοκλέπος,
Ἔπειθ' ὁ παῖς τοῦ καλοῦ μου δεσπότου.
Ἤλγησεν οὗτος τῷ πάθει τὴν καρδίαν,
Ἰδὼν τὸν υἱὸν τὸν φίλον τεθνηκότα.
Καὶ τὴν ὑπ' αὐτὸν στρατιὰν παροξυνὰς,
Ἐπῆλθεν ἀπτῶς τῇ φθόρῳ καὶ παμφάγῳ,
Καὶ πρὸς ἅμιλλαν ἀτρόμως συνεπλάκη.
Πλεῖστον δὲ καιρὸν αὐθυπηγωνισμένων,
Καὶ μηδενὸς φεύγοντος, ἀλλ' ἑστηκότες
Ξύλον κατελθὸν τῆς ὑπερτάτης στέγης,
Ἔτει παλαιῷ, καὶ χρόνῳ τεθραυσμένον,
Ἔπληξεν αὐτὴν ἐν μέσῳ μεταφρένων,
Καὶ



Καὶ νεῦρα συντέθλακεν αὐτῆς αὐτίκα,
Καὶ πρὸς βάθη πέπτωκεν ἀϊδωνέως.
Καὶ τὴν πρὶν ἡμῶν δυσμενῆ κατακράτος
Ἄσπονδον, ἀμείλικτον, ἠγριωμένην,
Ἔδειξεν ἄπνουν ἐκτάδην ἡπλωμένην.
Χορός. Ζώοις ἀλύπως, εὐθαλῶς, εὐκαρδίως
Ἐς λυκάβαντας μήπω πεπληρωμένους,
Ἀνθ' ὧν περ ἦλθες ἄγγελος ποθουμένων,
Καὶ τὸν φόνον πρόφηνας ἡμῖν τῆς φθόρου.
Ἤδη γὰρ εἶδον καὶ ποθούμενον τέλος,
Εἴληφος ἄρτι, καὶ καλῶς ἠνυσμένον.

# ΑΦΘΟΝΙΟΥ ΣΟΦΙΣΤΟΥ

## ΠΕΡΙ ΜΥΘΟΥ.

Ὁ Μῦθος Ποιητῶν μὲν προῆλθε, γεγένηται δὲ καὶ Ῥητόρων κοινὸς ἐκ παραινέσεως. Ἔστι δὲ Μῦθος, λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν. Καλεῖται δὲ Συβαριτικὸς, καὶ Κίλιξ, καὶ Κύπριος, πρὸς τοὺς εὑρόντας μεταθεὶς τὰ ὀνόματα. Νικᾷ δὲ μᾶλλον Αἰσώπιος λέγεσθαι τῷ τὸν Αἴσωπον ἄριστα πάντων συγγράψαι τοὺς Μύθους. Τοῦ δὲ Μύθου τὸ μὲν ἐστι Λογικὸν, τὸ δὲ Ἠθικὸν, τὸ δὲ Μικτόν. Καὶ Λογικὸν μὲν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασται. Ἠθικὸν δὲ, τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον. Μικτὸν δὲ, τὸ ἐξ ἀμφοτέρων ἀλόγου, καὶ λογικοῦ. Τὴν δὲ παραίνεσιν, δι᾽ ἣν ὁ Μῦθος τέτακται, προτάττων μὲν, ὀνομάσεις Προμύθιον, Ἐπιμύθιον δὲ, τελευταῖον ἐπενεγκών.

# ΤΟΥ ΑΥΤΟΥ

## ΜΥΘΟΣ

## ΜΥΡΜΗΚΩΝ ΚΑΙ ΤΕΤΤΙΓΩΝ.

Θέρους ἦν ἀκμὴ, καὶ οἱ μὲν Τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς Μύρμηξι δὲ πονεῖν ἐπῄει, καὶ συλλέγειν καρποὺς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι. Χειμῶνος δὲ ἐπιγεγονότος, Μύρμηκες μὲν, οἷς ἐπόνουν, ἐτρέφοντο· τοῖς δὲ, ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν. Οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα, παρὰ τὸ γῆρας κακοπραγεῖ.





# ΦΙΛΟΣΤΡΑΤΟΥ

## ΠΕΡΙ ΜΥΘΟΥ.

Φοιτῶσιν οἱ Μῦθοι παρὰ τὸν Αἴσωπον, ἀγαπῶντες αὐτὸν, ὅτι αὐτῶν ἐπιμελεῖται. Ἐμέλησε μὲν γὰρ καὶ Ὁμήρῳ Μύθου, καὶ Ἡσιόδῳ, ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην· ἀλλ᾽ Αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται, καὶ λόγου τοῖς θηρίοις μεταδέδωκε, λόγου ἕνεκα. Πλεονεξίαν τε γὰρ ἐπικόπτει, καὶ ὕβριν ἐλαύνει, καὶ ἀπάτην, καὶ ταῦτα Λέων τις αὐτῷ ὑποκρίνεται καὶ Ἀλώπηξ, καὶ Ἵππος νὴ Δία, καὶ οὐδὲ ἡ Χελώνη ἄφωνος, ὑφ᾽ ὧν τὰ παιδία μαθηταὶ γίνονται τῶν τοῦ βίου πραγμάτων. Εὐδοκιμοῦντες οὖν οἱ Μῦθοι διὰ τὸν Αἴσωπον, φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ ταινίαις αὐτὸν ἀναδήσοντες, καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. Ὁ δὲ οἶμαι τινὰ ὑφαίνειν Μῦθον· τὸ γὰρ μειδίαμα τοῦ προσώπου, καὶ οἱ ὀφθαλμοὶ κατὰ τῆς γῆς ἑστῶτες, τοῦτο δηλοῦσιν. Οἶδεν ὁ ζωγράφος, ὅτι αἱ τῶν Μύθων φροντίδες ἀνειμένης τῆς ψυχῆς δέονται. Φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν Μύθων σώματα, θηρία συμβάλλουσα ἀνθρώποις περιΐστησι χορὸν τῷ Αἰσώπῳ, ἀπὸ τῆς ἐκείνου σκηνῆς συμπλάσασα. Κορυφαία δὲ τοῦ χοροῦ ἡ Ἀλώπηξ γέγραπται. Χρῆται γὰρ αὐτῇ ὁ Αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ Κωμῳδία τῷ Δάῳ.

# ΑΝΘΟΛΟΓΙΑ
## ΕΠΙΓΡΑΜΜΑΤΩΝ.

### ΕΙΣ ΑΣΩΤΟΥΣ.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν Θήρων ὁ Μενίππου
Αἰσχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
Ἀλλά μιν Εὐκτήμων πατρικὸς φίλος ὡς ἐνόησεν
Ἤδη καρφαλέῃ τειρόμενον πενίῃ
Καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
Θῆκε θυγατρὸς ἑῆς, πόλλ᾽ ἐπιμείλια δούς.
Αὐτὰρ ἐπεὶ Θήρωνι παρ᾽ ἐλπίδας ἤλυθε πλοῦτος,
Αὐτίκα ταῖς αὐταῖς ἐτρέφετ᾽ ἐν δαπάναις,
Γαστρὶ χαριζόμενος πᾶσαν χάριν οὐ κατὰ κόσμον,
Τῇ θ᾽ ὑπὸ τὴν μιαρὰν γαστέρα μαχλοσύνῃ.
Οὕτω μὲν Θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
Οὐλομένης πενίης κῦμα παλιρρόθιον.
Εὐκτήμων δ᾽ ἐδάκρυε τὸ δεύτερον οὐκ ἔτι κεῖνον,
Ἀλλὰ θυγατρὸς ἑῆς προῖκά τε, καὶ θάλαμον.
Ἔγνω δ᾽ ὡς οὐκ ἔστι κακῶς κεχρημένον ἄνδρα
Τοῖς ἰδίοις, εἶναι πιστὸν ἐν ἀλλοτρίοις.

### ΕΙΣ ΤΟΝ ΑΝΘΡΩΠΙΝΟΝ ΒΙΟΝ.

Θρήικας αἰνείτω τις, ὅτι στοναχεῦσι μὲν υἷας
Μητέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους.
Ἔμπαλι δ᾽ ὀλβίζουσιν, ὅσους αἰῶνα λιπόντας
Ἀπροϊδὴς κηρῶν λάτρις ἔμαρψε μόρος.
Οἱ μὲν γὰρ ζῶντες, αἰεὶ παντοῖα περῶσιν
Ἐς κακά, τοὶ δὲ κακῶν εὗρον ἄκος φθίμενοι.

ΕΙΣ



### ΕΙΣ ΑΝΑΘΗΜΑΤΑ.

Οὐκ ἐμὰ ταῦτα λάφυρα. τίς ὁ θριγκοῖσιν ἀνάψας
Ἄρηος, ταύταν τὰν ἄχαριν χάριτα.
Ἄκλαστοι μὲν κῶνοι, ἀναίμακτοι δὲ γανῶσαι
Ἀσπίδες, ἄκλαστοι δ᾽ αἱ κλαδαραὶ κάμακες.
Αἰδοῖ πάντα πρόσωπ᾽ ἐρυθαίνομαι, ἐκ δὲ μετώπου
Ἱδρὼς πιδύων, στῆθος ἐπισταλάει.
Παστάδα τις τοιοῖσδε, καὶ ἀνδρειῶνα, καὶ αὐλὰν
Κοσμείτω, καὶ τὸν νυμφίδιον θάλαμον,
Ἄρεος δ᾽ αἱματόεντα διωξίπποιο λάφυρα
Νηὸν κοσμοίη· τοῖς γὰρ ἀρεσκόμεθα.

### ΕΙΣ ΑΥΛΗΤΑΣ.

Εἰ τοῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν Ὄλυμπον
Κωμάζων Λήναις σύν ποτε καὶ Σατύροις,
Οἷον ὁ τεχνήεις Πυλάδης ὠρχήσατο κεῖνον
Ὀρθὰ κατὰ τραγικῶν τέθμια μουσοπόλων.
Παυσαμένη ζήλου Διὸς ἂν φάτο σύγγαμος Ἥρη,
Ἐψεύσω Σεμέλη, Βάκχον ἐγὼ δ᾽ ἔτεκον.

### ΕΙΣ ΑΥΤΑΡΚΕΙΑΝ.

Ἀρκεῖ μοι χλαίνης λιτὸν σκέπας· οὐδὲ τραπέζαις
Δουλεύσω, Μουσέων ἄνθεα βοσκόμενος.
Μισῶ πλοῦτον, ἄνουν, κολάκων τροφόν· οὐδὲ παρ᾽ ὀφρὺν
Στήσομαι· οἶδ᾽ ὀλίγης δαιτὸς ἐλευθερίην.

### ΕΙΣ ΒΡΕΦΟΣ.

Ἤριπεν ἐξ ἄκρης δόμος ἀθρόος· ἀλλ᾽ ἐπὶ παιδὶ
Νηπιάχῳ, ζεφύρου πολλὸν ἐλαφρότερος.
Φείσατο κουροσύνης καὶ ἐρείπιον· ὦ μεγάλαυχοι
Μητέρες· ὠδίνων καὶ λίθος αἰσθάνεται.

ΕΙΣ

## ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ.

Ἀρχὴ γραμματικῆς πεντάστιχός ἐστι κατάρα.
Πρῶτος, μῆνιν ἔχει. δεύτερος, οὐλομένην.
Καὶ μετὰ δ' οὐλομένην, Δαναῶν πάλιν ἄλγεα πολλά.
Ὁ τρίτατος, ψυχὰς εἰς ἀΐδην κατάγει.
Τοῦ δὲ τεταρταίου, τὰ ἑλώρια, καὶ κύνες ἀργοί.
Πέμπτου δ', οἰωνοί, καὶ χόλος ἐστὶ Διός.
Πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
Καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν.

## ΕΙΣ ΓΡΑΦΙΔΑ.

Ἤμην ἀχρεῖον κάλαμος φυτόν· ἐκ γὰρ ἐμεῖο,
Οὐ σῦκ', οὐ μῆλον φύεται, οὐ σταφυλή.
Ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας
Χείλεα, καὶ στεινὸν ῥοῦν ὀχετευσάμενος.
Ἐκ δὲ τοῦ, εὖτε πίοιμι μέλαν ποτόν, ἔνθεος οἷα
Πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω στόματι.

## ΕΙΣ ΔΕΝΔΡΑ.

Ἡ πάρος ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
Ἀχράς, θηροβότου πρέμνον ἐρημοσύνης.
Ὀθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλω,
Οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
Πολλή σοι φυτοεργὲ πόνου χάρις· εἵνεκα σοῖο
Ἀχρὰς ἐν εὐκάρποις δένδρεσιν ἐγγράφομαι.

## ΕΙΣ ΔΙΚΗΝ.

Ἀσπίδ' Ἀχιλλῆος τὴν Ἕκτορος αἷμα πιοῦσαν,
Λαρτιάδης Δαναῶν εἷλε κακοκρισίῃ.
Ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον
Αἴαντος νυκτὴν ὥρμισεν, οὐκ Ἰθάκῃ.

ΕΙΣ



## ΕΙΣ ΔΥΣΠΡΑΓΙΑΝ.

Εὗρε Θρηΐκιος κρυμῷ πεπεδημένον ὕδωρ,
Νήπιος ἐμβαίνων, οὐκ ἔφυγεν θάνατον.
Ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθών,
Κρυμῷ τοὺς ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
Καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας· ἡ δὲ μένουσα
Ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
Δύσμορος, ἧς ὠδῖνα διείλετο πῦρ τε, καὶ ὕδωρ.
Ἀμφοτέρων δὲ δοκῶν, οὐδενός ἐστιν ὅλος.

## ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ.

Ἰχθύας ἀγκίστρωτις ἀπ' ἠόνος εὐτειχι βάλλων,
Εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτειχέα.
Οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
Χειρὸς ἐπισκάπτων, λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
Ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

## ΕΙΣ ΕΥΧΗΝ.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
Ἄμμι δίδου· τὰ δὲ λυγρά, καὶ εὐχομένων ἀπερύκοις.

## ΕΙΣ ΕΧΘΡΟΥΣ.

Πένθιμον ἡνίκα πατρὶ Πολυξείνης ὑμέναιον
Ἤνυσεν ὀγκωτοῦ Πύρρος ὕπερθε τάφου,
Ὧδε πολυκλαύστοιο κόμας λακίσασα καρήνου
Κισσηῒς τεκέων παῦσε φόνους Ἑκάβη.
Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς,
Νῦν δὲ Πολυξείνης αἷμα δέχῃ φθίμενος
Αἰακίδη. τί τοσοῦτον ἐμὴν ὠδύσαο νηδύν;
Παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

ΕΙΣ

## ΕΙΣ ΜΝΗΜΗΝ.

Μνήμη, καὶ λήθη, μέγα χαίρετον· ἡ μὲν ἐπ' ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ' ἐπὶ λευγαλέοις.

## ΕΙΣ ΠΟΝΗΡΟΥΣ.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
Χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

## ΕΙΣ ΣΩΦΡΟΣΥΝΗΝ.

Γαστέρα μισήσειε Θεός, καὶ βρώματα γαστρός.
Εἵνεκα γὰρ τούτων σωφροσύνη λύεται.

## ΕΙΣ ΤΥΧΗΝ.

Ἐλπὶς, καὶ σὺ τύχη, μέγα χαίρετε· τὸν λιμέν' εὗρον.
Οὐδὲν ἐμοί, χ' ὑμῖν· παίζετε τοὺς μετ' ἐμέ.

## ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΥΣ.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
Ὃν λίπεν οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

## ΕΙΣ ΦΙΛΙΑΝ.

Μήποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

## ΕΙΣ ΦΡΟΝΗΣΙΝ.

Ἡ βραδύπους βουλὴ, μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα,
Αἰὲν ἐφελκομένην τὴν μετάνοιαν ἔχει.

## ΕΙΣ ΦΡΟΝΤΙΔΑΣ.

Τὴν σαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
Ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

ΕΙΣ

SISMANOGLIO



## ΕΙΣ ΜΥΣΤΗΡΙΟΝ.

Ἀῤῥήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω·
Κρεῖσσον γὰρ μύθων, ἢ κτεάνων φυλακή.

## ΕΙΣ ΣΙΩΠΗΝ.

Πᾶς τις ἀπαίδευτος, φρονιμώτατός ἐστι σιωπῶν,
Τὸν λόγον ἐγκρύπτων ὡς πάθος αἴσχροτατον.

## ΕΙΣ ΠΤΩΧΟΥΣ.

Εἰ κρίσις ἐστὶ κάτω καὶ Τάνταλος, οὐδὲν ἀπιστῶ
Τῇ πενίῃ, μελετῶν τὴν ὑπὸ γῆν κόλασιν.

## ΕΙΣ ΦΘΟΝΟΝ.

Ὁ φθόνος ἐστὶ κάκιστος· ἔχει δέ τι καλὸν ἐν αὐτῷ·
Τήκει γὰρ φθονερῶν ὄμματα, καὶ καρδίην.

## ΕΙΣ ΧΡΟΝΟΝ.

Αἰὼν πάντα φέρει, δολιχὸς χρόνος οἶδεν ἀμείβειν,
Οὔνομα, καὶ μορφὴν καὶ φύσιν, ἠδὲ τύχην.

## ΕΙΣ ΑΔΥΝΑΤΟΝ.

Εἰς τί μάτην νίπτεις δέμας Ἰνδικόν; ἴσχεο τέχνης·
Οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

## ΕΙΣ ΑΝΟΗΤΟΥΣ.

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
Τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

## ΕΙΣ ΕΥΧΑΡΙΣΤΟΥΣ ΚΑΙ ΑΧΑΡΙΣΤΟΥΣ.

Ὠκεῖαι χάριτες γλυκερώτεραι· ἢν δὲ βραδύνῃ,
Πᾶσα χάρις κενεὴ, μηδὲ λέγοιτο χάρις.

ΕΙΣ

## ΕΙΣ ΑΝΔΡΑ ΦΑΥΛΟΝ.

Φαῦλος ἀνὴρ πίθος ἐστὶ τετρημένος, εἰς ὃν ἁπάσας
Ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

## ΕΙΣ ΘΑΝΟΝΤΑ.

Χαίρει τὶς, Θεόδωρος ἐπεὶ θάνεν· ἄλλος ἐπ' αὐτῷ
Χαιρήσει· θανάτῳ πάντες ὀφειλόμεθα.

## ΕΙΣ ἈΕΙ ΝΟΣΟΥΝΤΑΣ.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
Τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

## ΕΙΣ ΜΕΤΡΙΟΤΗΤΑ.

Πᾶν τὸ περιττὸν, ἄκαιρον· ἐπεὶ λόγος ἐστὶ παλαιὸς,
Ὡς καὶ τοῦ μέλιτος τὸ πλέον ἐστὶ χολή.

## ΕΙΣ ΦΙΛΟΝ.

Πρᾶγμα μὲν ἔσθ' ὁ φίλος πάνυ δύσκολον· εἰσὶ δὲ πολλοὶ
Καὶ σχεδὸν οἱ πάντες, μέχρι προσηγορίας.

## ΕΙΣ ΦΙΛΙΑΝ.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον οἶδα·
Τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.
Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
Τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

## ΕΙΣ ΖΩΗΝ.

Πολλὰ μεταξὺ πέλει κύλικος, καὶ χείλεος ἄκρου.





# ΙΠΠΟΚΡΑΤΟΥΣ ΟΡΚΟΣ.

Ὄμνυμι Ἀπόλλωνα ἰητρὸν, καὶ Ἀσκληπιὸν, καὶ Ὑγείην, καὶ Πανάκειαν, καὶ θεοὺς πάντας τε, καὶ πάσας ἵστορας ποιεύμενος, ἐπιτελέα ποιήσειν, κατὰ δύναμιν, καὶ κρίσιν ἐμὴν, ὅρκον τόνδε, καὶ ξυγγραφὴν τήνδε. Ἡγήσεσθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην ἴσα γενέτῃσιν ἐμοῖσι, καὶ βίου κοινώσασθαι, καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσασθαι, καὶ γένος τὸ ἐξ ἑωϋτέου ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄῤῥεσι, καὶ διδάξειν τὴν τέχνην ταύτην, ἢν χρηΐζωσιν ἄνευ μισθοῦ, καὶ ξυγγραφῆς, παραγγελίης τε, καὶ ἀκροήσιος, καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσεσθαι, υἱοῖσί τε ἐμοῖσι, καὶ τοῦ ἐμὲ διδάξαντος, καὶ μαθηταῖς συγγεγραμμένοις τε, καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ, ἄλλῳ δὲ οὐδενί. Διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν, καὶ κρίσιν ἐμὴν, ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. Οὐ δώσω δὲ οὐδενὶ φάρμακον αἰτηθεὶς θανάσιμον. Οὐ δὴ ὑφηγήσομαι συμβουλίην τοιήνδε. Ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω. Ἁγνῶς δὲ, καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν, καὶ τέχνην τὴν ἐμήν. Οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας, ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. Εἰς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων, ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης, καὶ φθορίης τῆς δὲ ἄλλης, καὶ ἀφροδι-

σίων ἔργων. Ἐπί τε γυναικείων σωμάτων, καὶ ἀνδρείων, ἐλευθέρων τε, καὶ δούλων, ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω, ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρήποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄῤῥητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα. Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι, καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρασθαι καὶ βίου, καὶ τέχνης, δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις εἰς τὸν ἀεὶ χρόνον· παραβαίνοντι δὲ, καὶ ἐπιορκοῦντι τἀναντία τουτέων.

ΕΚ-



# ΕΚΘΕΣΙΣ ΚΕΦΑΛΑΙΩΝ ΠΑΡΑΙΝΕΤΙΚΩΝ

ΣΧΕΔΙΑΣΘΕΙΣΑ

ΠΑΡΑ

## ΑΓΑΠΗΤΟΥ

Διακόνου τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας,
Ὧν ἡ Ἀκροστιχὶς ὧδέ πως ἔχει.

Τῷ Θειοτάτῳ, καὶ Εὐσεβεστάτῳ Βασιλεῖ ἡμῶν Ἰουστινιανῷ

ΑΓΑΠΗΤΟΣ

Ο ΕΛΑΧΙΣΤΟΣ ΔΙΑΚΟΝΟΣ.

1. Τιμῆς ἁπάσης ὑπέρτερον ἔχων ἀξίωμα, Βασιλεῦ, τιμᾷς ὑπὲρ ἅπαντας τὸν τοῦτό σε ἀξιώσαντα Θεόν· ὅτι καὶ καθ' ὁμοίωσιν τῆς ἐπουρανίου Βασιλείας ἔδωκέ σοι τὸ σκῆπτρον τῆς ἐπιγείου δυναστείας, ἵνα τοὺς ἀνθρώπους διδάξῃς τὴν τοῦ δικαίου φυλακὴν, καὶ τῶν κατ' αὐτοῦ λυσσώντων ἐκδιώξῃς τὴν ὑλακὴν, ὑπὸ τῶν αὐτοῦ βασιλευόμενος νόμων, καὶ τῶν ὑπὸ σὲ βασιλεύων ἐννόμως. *

2. Ὡς

* Ἰστέον ὅτι ἡ παροῦσα Παραινετικὴ Ἔκθεσις παρ' Ἕλλησι Βασιλικὴ ὀνομάζεται Σχέδη.

2. Ὡς κυβερνήτης ἀγρυπνεῖ διαπαντὸς ὁ τοῦ Βασιλέως πολυόμματος νοῦς, διακατέχων ἀσφαλῶς τῆς εὐνομίας τοὺς οἴακας, καὶ ἀπωθούμενος ἰσχυρῶς τῆς ἀνομίας τοὺς ῥύακας, ἵνα τὸ σκάφος τῆς παγκοσμίου πολιτείας μὴ περιπίπτῃ κύμασιν ἀδικίας.

3. Θεῖον μάθημα, καὶ πρῶτον οἱ ἄνθρωποι, τὸ γνῶναί τινα ἑαυτὸν, διδασκόμεθα. Ὁ γὰρ ἑαυτὸν γνοὺς, γνώσεται Θεόν. Θεὸν δὲ ὁ γνοὺς, ὁμοιωθήσεται Θεῷ· ὁμοιωθήσεται δὲ Θεῷ, ὁ ἄξιος γενόμενος Θεοῦ· ἄξιος δὲ γίνεται Θεοῦ, ὁ μηδὲν ἀνάξιον πράττων Θεῷ· ἀλλὰ φρονῶν μὲν τὰ αὐτοῦ, λαλῶν δὲ ἃ φρονεῖ, ποιῶν δὲ ἃ λαλεῖ.

4. Ἐπὶ προγόνων εὐγενείᾳ μηδεὶς ἐναβρυνέσθω. Πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα, καὶ οἱ ἐν πορφύρᾳ, καὶ βύσσῳ καυχώμενοι, καὶ οἱ ἐν πενίᾳ, καὶ νόσῳ τρυχόμενοι, καὶ οἱ διαδήματα περικείμενοι, καὶ οἱ διὰ δώματα προκείμενοι. Μὴ τοίνυν εἰς πήλινον ἐγκαυχώμεθα γένος, ἀλλ᾽ ἐπὶ χρηστότητι σεμνυνώμεθα τρόπων.

5. Ἴθι, ὦ εὐσεβείας Θεότευκτον ἄγαλμα, ὅτι ὅσῳ μεγάλων ἠξιώθης παρὰ Θεοῦ δωρεῶν, τοσούτῳ μείζονος ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις αὐτῷ. Οὐκοῦν ἀπόδος τῷ εὐεργέτῃ τὸ χρέος τῆς εὐχαριστίας, τῷ λαμβάνοντι τὸ χρέος ὡς χάριν, καὶ τῆς χάριτος χάριν ἀντιδιδόντι. Αὐτὸς γὰρ ἀεὶ καὶ χαρίτων ἄρχει, καὶ ὡς χρέος τὰς χάριτας ἀποδίδωσιν. Εὐχαριστίαν δὲ ζητεῖ παρ᾽ ἡμῶν, οὐ τὴν διὰ ῥημάτων ἀγαθῶν προφορὰν, ἀλλὰ τὴν διὰ πραγμάτων εὐσεβῶν προσφοράν.

6. Οὐδὲν οὕτως εὐδόκιμον ἐργάζεται ἄνθρωπον, ὡς δύνασθαι μὲν ἃ βούλεται πράττειν, ἀεὶ δὲ φιλάνθρωπα καὶ βούλεσθαι, καὶ πράττειν. Ἐπειδὴ τοίνυν

νυν



νυν ἐκ Θεοῦ σοι κεχάρισται δύναμις, ἧς ἐδεῖτο δι᾽ ἡμᾶς ἡ ἀγαθή σου βούλησις, πάντα καὶ βούλου, καὶ πράττε, ὡς ἀρέσκει τῷ ταύτην σοι δεδωκότι.

7. Τῶν ἐπιγείων χρημάτων ὁ ἄστατος πλοῦτος, τῶν ποταμίων ῥευμάτων μιμεῖται τὸν δρόμον· πρὸς ὀλίγον μὲν ἐπιρρέων, τοῖς ἔχειν νομίζουσιν, μετ᾽ ὀλίγον δὲ παραρρέων εἰς ἄλλους ἀπέρχεται. Μόνος δὲ τῆς εὐποιΐας ὁ θησαυρὸς μόνιμός ἐστι τοῖς κεκτημένοις αὐτόν· τῶν γὰρ ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς ποιοῦντας ἐπαναστρέφουσιν.

8. Ἀπρόσιτος μὲν ὑπάρχεις ἀνθρώποις, διὰ τὸ ὕψος τῆς κάτω Βασιλείας, εὐπρόσιτος δὲ γίνῃ τοῖς δεομένοις, διὰ τὸ κράτος τῆς ἄνω ἐξουσίας· καὶ ἀνοίγεις τὰ ὦτα τοῖς ὑπὸ πενίας πολιορκουμένοις, ἵνα εὕρῃς τὴν τοῦ Θεοῦ ἀκοὴν ἀνεῳγμένην· οἷοι γὰρ ἂν τοῖς ἡμετέροις γενώμεθα συνδούλοις, τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν τὸν Δεσπότην.

9. Τὴν πολυμέριμνον τοῦ Βασιλέως ψυχὴν κατόπτρου δίκην ἀποσμήχεσθαι χρὴ, ἵνα ταῖς θείαις αὐγαῖς ἀεὶ καταστράπτηται, καὶ τῶν πραγμάτων τὰς κρίσεις ἐκεῖθεν διδάσκηται. Οὐδὲν γὰρ οὕτω ποιεῖ τὰ δέοντα καθορᾶν, ὡς τὸ φυλάσσειν ἐκείνην διαπαντὸς καθαράν.

10. Ὥσπερ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ὁ ναύτης σφαλῇ, μικρὰν φέρει τοῖς συμπλέουσι βλάβην, ὅταν δὲ αὐτὸς ὁ κυβερνήτης, παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώλειαν· οὕτω καὶ ἐν ταῖς πόλεσιν, ἂν μέν τις τῶν ἀρχομένων ἁμάρτῃ, οὐ τὸ κοινὸν τοσοῦτον, ὅσον ἑαυτὸν ἀδικεῖ· ἂν δὲ αὐτὸς ὁ ἄρχων, πάσης ἐργάζεται τῆς πολιτείας τὴν βλάβην. Ὡς οὖν μεγάλας ὑφέξων εὐθύνας, εἴτι παρίδοι τῶν δεόντων, μετὰ πολλῆς ἀκριβείας καὶ λεγέτω πάντα, καὶ πραττέτω.



11. Κύ-

11. Κύκλος τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτὰ, καὶ περιφέρων, καὶ τούτοις ἀνισότης ἐστὶ, τῷ μηδὲν τῶν παρόντων ἐν ταυτότητι μένειν. Δεῖ οὖν σε, κράτιστε Βασιλεῦ, ἐν τῇ τούτων ἀγχιστρόφῳ μεταβολῇ, ἀμετάβλητον ἔχειν τὸν εὐσεβῆ λογισμόν.

12. Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους, ὥσπερ τῶν κοράκων τοὺς ἁρπακτικοὺς τρόπους. Οἱ μὲν γὰρ τοὺς τοῦ σώματος ἐξορύττουσιν ὀφθαλμοὺς, οἱ δὲ τοὺς τῆς ψυχῆς ἐξαμβλυώσσουσι λογισμοὺς, μὴ συγχωροῦντες ὁρᾶν τὴν τῶν πραγμάτων ἀλήθειαν· ἢ γὰρ ἐπαινοῦσιν ἔσθ' ὅτε τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις τὰ ἐπαίνων κρείττονα, ἵνα δυοῖν θάτερον αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐπαινούμενον, ἢ τὸ καλὸν ὑβριζόμενον.

13. Ἴσον εἶναι χρὴ πάντοτε τοῦ Βασιλέως τὸ φρόνημα. Τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον γίνεται. Τὸ δὲ παγίως ἐν τοῖς καλοῖς ἐρηρεῖσθαι, ὡς τὸ εὐσεβὲς ὑμῶν ἐστήρικται κράτος, καὶ μήτε πρὸς ἀλαζονείαν ὑπεραίρεσθαι, μήτε πρὸς ἀθυμίαν καταφέρεσθαι, βεβηκότων ἐστὶν ἀσφαλῶς, καὶ ἀκράδαντον ἐχόντων τὴν ψυχήν.

14. Εἴτις κεκαθαρμένον ἔχει τὸν λογισμὸν ἐκ τῆς ἀνθρωπίνης ἀπάτης, καὶ βλέπει τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ φύσεως, τό, τε βραχὺ, καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς, καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥύπον, εἰς τὸν τῆς ὑπερηφανίας οὐκ ἐμπεσεῖται κρημνὸν, κἂν ἐν ἀξιώματι ὑπάρχῃ ὑψηλῷ.

15. Ὑπὲρ πάντα τῆς Βασιλείας τὰ ἔνδοξα, τῆς εὐσεβείας τὸ στέμμα τὸν Βασιλέα κοσμεῖ. Ὁ γὰρ πλοῦτος ἀπέρχεται, καὶ ἡ δόξα μετέρχεται. Τὸ δὲ κλέος





τῆς ἐνθέου πολιτείας ἀθανάτοις αἰῶσι συμπαρεκτείνεται, καὶ λήθης ἐπέκεινα τοὺς ἔχοντας ἵστησι.

16. Σφόδρα μοι δοκεῖ ἀτοπώτατον εἶναι, ὅτι πλούσιοι, καὶ πένητες ἄνθρωποι, ἐξ ἀνομοίων πραγμάτων βλάβην πάσχουσιν ὁμοίαν· οἱ μὲν γὰρ ὑπὸ τοῦ κόρου διαῤῥήγνυνται· οἱ δὲ ὑπὸ τοῦ λιμοῦ διαφθείρονται. Καὶ οἱ μὲν κατέχουσι τοῦ Κόσμου τὰ πέρατα, οἱ δὲ οὐκ ἔχουσι ποῦ στῆσαι τὰ πέλματα. Ἵνα τοίνυν ἄμφω τῆς ὑγείας τύχωσι, ἀφαιρέσει, καὶ προσθέσει τούτους θεραπευτέον, καὶ πρὸς ἰσότητα τὴν ἀνισότητα μετενεκτέον.

17. Ἐφ' ἡμῖν ἀνεδείχθη τῆς εὐζωΐας ὁ χρόνος, ὃν προεῖπέ τις τῶν παλαιῶν ἔσεσθαι, ὅταν ἢ φιλόσοφοι βασιλεύσωσιν, ἢ Βασιλεῖς φιλοσοφήσωσι· καὶ γὰρ φιλοσοφοῦντες, ἠξιώθητε Βασιλείας, καὶ βασιλεύσαντες, οὐκ ἀπέστητε φιλοσοφίας. Εἰ γὰρ τὸ φιλεῖν σοφίαν, ποιεῖ φιλοσοφίαν· ἀρχὴ δὲ σοφίας ὁ τοῦ Θεοῦ φόβος, ὃν ἐν τοῖς στέρνοις ὑμῶν διαπαντὸς ἔχετε, εὔδηλον ὡς ἀληθὲς τὸ παρ' ἐμοῦ λεγόμενον.

18. Βασιλέα σε κατ' ἀλήθειαν ὁρίζομαι, ὡς βασιλεύειν, καὶ κρατεῖν τῶν ἡδονῶν δυνάμενον, καὶ τὸν στέφανον τῆς σωφροσύνης ἀναδυσάμενον, καὶ τὴν πορφύραν τῆς δικαιοσύνης ἀμφιασάμενον. Ἡ μὲν γὰρ ἄλλη ἐξουσία τὸν θάνατον ἔχει διαδοχήν· ἡ δὲ τοιαύτη Βασιλεία τὴν ἀθάνατον σώζει διαμονήν. Καὶ ἡ μὲν ἐν τῷ αἰῶνι τούτῳ λύεται, ἡ δὲ τῆς αἰωνίου κολάσεως ῥύεται.

19. Εἰ τὴν ἐκ πάντων βούλη καρποῦσθαι τιμὴν, γίνου τοῖς ἅπασιν εὐεργέτης κοινός. Οὐδὲν γὰρ οὕτω πρὸς εὔνοιαν ἐφέλκεται, ὡς εὐποιΐας χάρις διδομένη τοῖς χρήζουσιν. Ἡ γὰρ διὰ φόβον γινομένη θεραπεία, κατεσχηματισμένη ἐστὶ θωπεία,

πεπλασμένης τιμῆς ὀνόματι φενακίζουσα τοὺς αὐτῇ προσανέχοντας.

20. Σεπτὴ δικαίως ἐστὶν ἡ ὑμῶν Βασιλεία, ὅτι τοῖς πολεμίοις μὲν δεικνύει τὴν ἐξουσίαν, τοῖς ὑπηκόοις δὲ νέμει φιλανθρωπίαν. Καὶ νικῶσα ἐκείνους τῇ δυνάμει τῶν ὅπλων, τῇ ἀόπλῳ ἀγάπῃ τῶν οἰκείων ἡττᾶται. Ὅσον γὰρ θηρίου, καὶ προβάτου τὸ μέσον, τοσοῦτον ἀμφοτέρων ἡγεῖται τὸ διάφορον.

21. Τῇ μὲν οὐσίᾳ τοῦ σώματος ἴσος παντὶ ἀνθρώπῳ ὁ Βασιλεύς, τῇ ἐξουσίᾳ δὲ τοῦ ἀξιώματος ὅμοιός ἐστι τῷ ἐπὶ πάντων Θεῷ. Οὐκ ἔχει γὰρ ἐπὶ γῆς τὸν αὐτοῦ ὑψηλότερον. Χρὴ τοίνυν αὐτὸν καὶ ὡς θεὸν μὴ ὀργίζεσθαι, καὶ ὡς θνητὸν μὴ ἐπαίρεσθαι. Εἰ γὰρ καὶ εἰκόνι θεϊκῇ τετίμηται, ἀλλὰ καὶ κόνει χοϊκῇ συμπέπλεκται, δι' ἧς ἐκδιδάσκεται τὴν πρὸς πάντας ἰσότητα.

22. Ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν ἐθέλοντας, ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας. Οἱ μὲν γὰρ τὸ συμφέρον συνορῶσιν ἐν ἀληθείᾳ· οἱ δὲ πρὸς τὰ δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι, καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι, τοῖς παρ' αὐτῶν λεγομένοις συνᾴδουσι.

23. Τοιοῦτος γίνου περὶ τοὺς σοὺς οἰκέτας, οἷον εὔχῃ σοὶ τὸν Δεσπότην γενέσθαι. Ὡς γὰρ ἀκούομεν, ἀκουσθησόμεθα, καὶ ὡς ὁρῶμεν, ὁραθησόμεθα ὑπὸ τοῦ θείου, καὶ παντεφόρου βλέμματος. Προεισενέγκωμεν οὖν τῷ ἐλέῳ τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.

24. Ὥσπερ τὰ ἀκριβῆ τῶν κατόπτρων τοιαύτας δείκνυσι τὰς τῶν προσώπων ἐμφάσεις, οἷα πέρ ἐστι τὰ πρωτότυπα, φαιδρὰ μὲν τῶν φαιδρυνομένων, σκυθρωπὰ δὲ τῶν σκυθρωπαζόντων· οὕτω καὶ ἡ δι-

καία

SISMANOGLIO



καία τοῦ Θεοῦ κρίσις ταῖς ἡμετέραις πράξεσιν ἐξομοιοῦται. Οἷάπερ γὰρ ἂν ἢ τὰ παρ' ἡμῶν εἰργασμένα, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων παρέχει.

25. Βουλεύου μὲν τὰ πρακτέα βραδέως, ἐκτέλει δὲ τὰ κριθέντα σπουδαίως. Ἐπεὶ λίαν ἐστὶ σφαλερὸν, τὸ ἐν τοῖς πράγμασιν ἀπερίσκεπτον. Εἰ γὰρ τὰ ἐξ ἀβουλίας τις ἐννοήσει κακὰ, τότε γνώσεται καλῶς τῆς εὐβουλίας τὰ χρήσιμα· ὡς καὶ τῆς ὑγείας τὴν χάριν μετὰ τὴν πεῖραν τῆς νόσου. Δεῖ τοίνυν, εὐφρονέστατε Βασιλεῦ, καὶ βουλῇ συνετωτέρᾳ, καὶ εὐχῇ συντονωτέρᾳ, ἐξερευνᾷν ἀκριβῶς τὰ συνοίσοντα τῷ Κόσμῳ.

26. Ἄριστα διοικήσεις τὴν ἀγαθήν σου Βασιλείαν, εἰ πάντα σπουδάζεις ἐφορᾷν, καὶ μηδὲν ἀνέχῃ παρορᾷν. Οὐ γὰρ μικρὸν ἐπὶ σοὶ, ὅπερ μικρὸν εἶναι δοκεῖ ἐν συγκρίσει τῶν σῶν· ἐπειδὴ καὶ ῥῆμα Βασιλέως ψιλὸν, μεγάλην ἔχει παρὰ πᾶσιν ἰσχύν.

27. Σαυτῷ τὴν τοῦ φυλάττειν τοὺς νόμους ἐπίθες ἀνάγκην, ὡς μὴ ἔχων ἐπὶ γῆς τὸν δυνάμενον ἀναγκάζειν. Οὕτω γὰρ καὶ τῶν νόμων ἐπιδείξεις τὸ σέβας, αὐτὸς πρὸ τῶν ἄλλων τούτους αἰδούμενος, καὶ τοῖς ὑπηκόοις φανήσεται τὸ παρανομεῖν οὐκ ἀκίνδυνον.

28. Ἴσον τῷ πλημμελεῖν τὸ μὴ κωλύειν τοὺς πλημμελοῦντας λογίζου. Κἂν γάρ τις πολιτεύηται μὲν ἐνθέσμως, ἀνέχηται δὲ τῶν βιούντων ἀθέσμως, συνεργὸς τῶν κακῶν παρὰ Θεῷ κρίνεται. Εἰ δὲ βούλῃ διττῶς εὐδοκιμεῖν, καὶ τοὺς τὰ κάλλιστα ποιοῦντας προτίμα, καὶ τοῖς τὰ χείριστα δρῶσιν ἐπιτίμα.

29. Λίαν συμφέρειν ὑπολαμβάνω, τὸ φεύγειν

τὰς

τὰς τῶν κακῶν συνδιαιτήσεις. Τὸν γὰρ συνόντα πάντοτε ἀνθρώποις πονηροῖς, ἢ παθεῖν, ἢ μαθεῖν ἀνάγκη τί πονηρόν. Ὁ δὲ τοῖς ἀγαθοῖς συνδιάγων, ἢ μίμησιν τῶν καλῶν ἐκδιδάσκεται, ἢ μείωσιν τῶν κακῶν ἐκπαιδεύεται.

30. Ἐγκόσμιον ὑπὸ Θεοῦ πιστευθεὶς βασιλείαν, μηδενὶ χρῶ τῶν πονηρῶν πρὸς τὰς τῶν πραγμάτων διοικήσεις. Ὧν γὰρ ἂν ἐκεῖνοι κακῶς διαπράξωνται, λόγον ὑφέξει Θεῷ ὁ τὴν ἰσχὺν αὐτοῖς δεδωκώς. Μετὰ πολλῆς οὖν ἐξετάσεως αἱ τῶν ἀρχόντων προβολαὶ γενέσθωσαν.

31. Ἴσον νομίζω κακὸν, καὶ τῶν ἐχθρῶν θυμοῦσθαι ταῖς κακουργίαις, καὶ τῶν φίλων θέλγεσθαι ταῖς κολακείαις. Δεῖ γὰρ πρὸς ἑκατέρους γενναίως ἀνθίστασθαι, καὶ τοῦ πρέποντος μηδαμῶς ἀφίστασθαι· μήτε τὴν ἀλόγιστον ἐκείνων δυσμένειαν ἀμυνόμενον, μήτε τὴν ἐπίπλαστον τούτων εὐμένειαν ἀμειβόμενον.

32. Ἡγοῦ τούτους εἶναι φίλους ἀληθεστάτους, μὴ τοὺς ἐπαινοῦντας ἅπαντα τὰ παρὰ σοῦ λεγόμενα, ἀλλὰ τοὺς κρίσει δικαίᾳ πάντα πράττειν σπουδάζοντας· καὶ συνηδομένους μὲν ἐπὶ τοῖς χρηστοτέροις, ἐπισυγνάζοντας δὲ ἐπὶ τοῖς ἐναντίοις. Οὗτοι γὰρ ὄντως ἀψευδεστάτης φιλίας δεικνύουσι τεκμήριον.

33. Μὴ μεταβαλέτω σοι τὴν μεγαλόφρονα γνώμην τῆς ἐπιγείου ταύτης δυναστείας ὁ ὄγκος, ἀλλ' ὡς ἐπίκηρον διέπων ἀρχὴν, ἄτρεπτον ἔχε τὸν νοῦν ἐν πράγμασι τρεπτοῖς, μήτε ἐν ταῖς εὐθυμίαις ἐξυψούμενος, μήτε ἐν ταῖς ἀθυμίαις ταπεινούμενος.

34. Ὥσπερ χρυσὸς ἄλλοτε ἄλλως ὑπὸ τῆς τέχνης μετατυπούμενος, καὶ πρὸς διάφορα κοσμίων εἴδη μεταποιούμενος, ὅπερ ἐστὶ διαμένει, καὶ τροπὴν

οὐχ



οὐχ ὑπομένει· οὕτω καὶ αὐτὸς, εὐκλεέστατε Βασιλεῦ, ἄλλην ἐξ ἄλλης ἀμείβων ἀρχὴν, φθάσας δὲ καὶ αὐτὴν τὴν ἀνωτάτω τιμὴν, ὁ αὐτὸς διαμένεις οὐκ ἐν τοῖς αὐτοῖς πράγμασιν, ἀναλλοίωτον ἔχων ἐν τῷ καλῷ τὸ φρόνημα.

35. Νόμιζε τότε βασιλεύειν ἀσφαλῶς, ὅταν ἑκόντων ἀνάσσῃς τῶν ἀνθρώπων. Τὸ γὰρ ἀκουσίως ὑποταττόμενον, στασιάζει καιροῦ λαβόμενον. Τὸ δὲ τοῖς θεσμοῖς τῆς εὐνοίας κρατούμενον, βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν τὴν εὐπείθειαν.

36. Ἵνα τὸ κράτος τῆς βασιλείας ποιήσῃς ἀοίδιμον ὅσην ἔχεις κατὰ τῶν ὑπηκόων ἁμαρτανόντων ὀργὴν, τοσαύτην ἔχειν καὶ κατὰ σαυτοῦ πλημμελοῦντος ἀξίου. Οὐδεὶς γὰρ ἰσχύει τὸν ἐν ἐξουσίᾳ τηλικαύτῃ παιδεύειν, εἰ μὴ λογισμὸς οἰκεῖος, ἐξ αὐτοῦ τοῦ πλημμελοῦντος κινούμενος.

37. Ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος, τὸν δοτῆρα τῆς ἐξουσίας μιμείσθω κατὰ δύναμιν. Εἰ γάρ πως τὴν εἰκόνα φέρει τοῦ ἐπὶ πάντων Θεοῦ, καὶ δι' αὐτοῦ κατέχει τὴν ἐπὶ πάντων ἀρχὴν, ἐν τούτῳ δὴ μάλιστα τὸν Θεὸν μιμήσεται, ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον.

38. Ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον τῆς εὐποιΐας τὸν πλοῦτον ἑαυτοῖς θησαυρίσωμεν, τὸν καὶ ὧδε κατευφραίνοντα τῇ ἐλπίδι τῆς μελλούσης ἀπολαύσεως, κἀκεῖ καταγλυκαίνοντα τῇ πείρᾳ τῆς ἐλπισθείσης μακαριότητος. Τὰ δὲ νῦν περὶ ἡμᾶς, ὡς οὐδὲν πρὸς ἡμᾶς, μὴ τερπέτω ἡμᾶς.

39. Σπούδαζε λαμπροτέραις ἀμείβεσθαι δωρεαῖς, τοὺς μετ' εὐνοίας ποιοῦντας τὰ παρὰ σοῦ προσαττόμενα. Τούτῳ γὰρ τῷ τρόπῳ καὶ τῶν ἀγαθῶν ἐπαυξήσεις τὴν προθυμίαν, καὶ τοὺς πονηροὺς διδάξεις μετα-

μα-

SISMANOGLIO MEGARO

μαθεῖν τὴν κακίαν. Τὸ γὰρ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς μὴ τὰ αὐτὰ ποιοῦντας, ἄγαν ἐστὶν ἀθέμιτον.

40. Τιμιώτατον πάντων ἐστὶν ἡ Βασιλεία. Τότε δὲ μάλιστα τοιοῦτόν ἐστιν, ὅταν ὁ τοῦτο περικείμενος τὸ κράτος μὴ πρὸς αὐθάδειαν ῥέπῃ, ἀλλὰ πρὸς ἐπιείκειαν βλέπῃ· τὸ μὲν ἀπάνθρωπον, ὡς θηριῶδες ἀποστρεφόμενος, τὸ δὲ φιλάνθρωπον, ὡς θεοείκελον ἐνδεικνύμενος.

41. Ἴσως πρός τε φίλους, καὶ ἐχθροὺς ποιοῦ τὰς κρίσεις, μήτε τοῖς εὐνοοῦσι χαριζόμενος διὰ τὴν εὔνοιαν, μήτε τοῖς δυσμενέσιν ἀνθιστάμενος δι' ἀπέχθειαν. Ἐπειδὴ τῆς αὐτῆς ἐστιν ἀτοπίας, καὶ δικαιοῦν τὸν ἄδικον, εἰ καὶ φίλος ὑπάρχει, καὶ ἀδικεῖν τὸν δίκαιον, εἰ καὶ ἐχθρὸς τυγχάνει· τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται.

42. Συνεχῶς ἀκροᾶσθαι δεῖ τοὺς τῶν πραγμάτων κριτάς· δυσθήρατος γάρ ἐστιν ἡ τοῦ δικαίου εὕρεσις, ῥᾳδίως ἐκφεύγουσα τοὺς μὴ λίαν προσέχοντας. Ἂν δὲ καὶ τὴν τῶν λεγόντων ἀφέντες δεινότητα, καὶ τὴν τῶν λεγομένων παρέντες πιθανότητα, εἰς τὸ βάθος τῶν νοημάτων ἑαυτοὺς ἐμβάλλωσιν, οὕτως ἀνιμήσονται τὸ παρ' αὐτῶν ζητούμενον, καὶ διπλῆν ἁμαρτίαν ἐκφεύξονται, μήτε αὐτοὶ τὸ καλὸν προδιδόντες, μήτε ἄλλοις τοῦτο δρᾶν συγχωροῦντες.

43. Ἰσάριθμα τοῖς ἄστροις ἂν κτήσῃ τὰ κατορθώματα, οὐδέποτε νικήσεις τὴν τοῦ Θεοῦ ἀγαθότητα. Ὅσα γὰρ ἄν τις προσενέγκῃ Θεῷ, ἐκ τῶν αὐτοῦ τὰ αὐτοῦ προσφέρει αὐτῷ. Καὶ ὡς οὐκ ἔστιν ὑπερβῆναι τὴν ἰδίαν ἐν τῷ Ἡλίῳ σκιὰν, προλαμβάνουσαν ἀεὶ καὶ τὸν λίαν ἐπειγόμενον, οὕτως οὐδὲ τὴν ἀνυπέρβλητον τοῦ Θεοῦ χρηστότητα ταῖς εὐποιΐαις ὑπερβήσονται ἄνθρωποι.





44. Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος. Ἐν τῷ διδόναι γὰρ λαμβάνεται, καὶ ἐν τῷ σκορπίζειν συνάγεται. Τοῦτον ἔχων ἐν τῇ ψυχῇ σου, πλουσιόδωρε Βασιλεῦ, δίδου πᾶσι δαψιλῶς τοῖς αἰτοῦσι παρὰ σοῦ. Ἀπειροπλασίους γὰρ ἕξεις τὰς ὑπὲρ τούτων ἀμοιβὰς, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς τῶν ἔργων ἀντιδόσεως.

45. Νεύματι Θεοῦ τὴν Βασιλείαν λαβὼν, μιμῆσαι αὐτὸν δι' ἔργων ἀγαθῶν· ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων. Τὸ γὰρ ἕτοιμον τῆς τῶν χρημάτων δαψιλείας ἀνεμπόδιστόν ἐστι πρὸς τὰς τῶν πενήτων εὐποιΐας.

46. Ὥσπερ ὀφθαλμὸς ἐμπέφυκε σώματι, οὕτω βασιλεὺς τῷ Κόσμῳ ἐνήρμοσται, ὑπὸ τοῦ Θεοῦ δεδομένος εἰς συνεργίαν τῶν συμφερόντων. Χρὴ οὖν αὐτὸν, ὡς οἰκείων μελῶν, οὕτω πάντων ἀνθρώπων προνοεῖν, ἵνα προκόπτωσιν ἐν καλοῖς, καὶ μὴ προσκόπτωσιν ἐν κακοῖς.

47. Ἀσφαλεστάτην ἡγοῦ τῆς σωτηρίας σου φυλακὴν, τὸ μηδέποτέ τινα τῶν ὑπηκόων ἀδικεῖν. Ὁ γὰρ τινὰ μὴ ἀδικῶν, οὐχ ὑφορᾶται τινά· εἰ δὲ τὸ μὴ ἀδικεῖν ἀσφάλειαν προξενεῖ, τὸ εὐεργετεῖν πολλῷ πλέον. Τὸ ἀσφαλὲς γὰρ δίδωσι, καὶ τὸ προσφιλὲς οὐ προδίδωσι.

48. Γίνου τοῖς ὑπηκόοις, εὐσεβέστατε Βασιλεῦ, καὶ φοβερὸς διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας, καὶ ποθεινὸς διὰ τὴν παροχὴν τῆς εὐποιΐας. Μήτε τοῦ φόβου καταφρονῶν διὰ τὸν πόθον, μήτε τοῦ πόθου παραμελῶν διὰ τὸν φόβον. Ἀλλὰ τὸ ἥμερον ἔχων ἀκαταφρόνητον, καὶ τὸ εὐκαταφρόνητον ἔχων ἀνήμερον.

49. Ἃ τοῖς ὑπηκόοις νομοθετεῖς διὰ τῶν λόγων, ταῦτα προλαβὼν ὑπέδειξας διὰ τῶν ἔργων, ἵνα

τοῖς

τοῖς λόγοις, οἷς πείθεις, καὶ χρηστὸς συναγωνίζηται βίος. Οὕτω γὰρ εὐδόκιμον ἀποφανῇ σου τὸ κράτος, καὶ λέγων πρακτικῶς, καὶ πράττων λογικῶς.

50. Πλέον ἀγάπα, Βασιλεῦ γαληνότατε, τοὺς λαμβάνειν παρὰ σοῦ χάριτας ἱκετεύοντας, ἤπερ τοὺς σπουδάζοντας δωρεάς σοι προσφέρειν. Τοῖς μὲν γὰρ ὀφειλέτης ἀμοιβῆς καθίστασαι, οἱ δέ σοι τὸν Θεὸν ὀφειλέτην ποιοῦσι, τὸν οἰκειούμενον τὰ εἰς αὐτοὺς γινόμενα, καὶ ἀμειβόμενον ἀγαθαῖς ἀντιδόσεσι τὸν φιλόθεον, καὶ φιλάνθρωπόν σου σκοπόν.

51. Ἡλίου μὲν ἔργον ἐστὶ, τὸ καταλάμπειν ταῖς ἀκτῖσι τὴν κτίσιν. Ἄνακτος δὲ ἀρετὴ, τὸ ἐλεεῖν τοὺς δεομένους. Κἀκείνου δὲ φανώτερος ὁ εὐσεβὴς Βασιλεύς. Ὁ μὲν γὰρ ὑποχωρεῖ τῇ διαδοχῇ τῆς νυκτός· ὁ δὲ οὐ παραχωρεῖ τῇ συναρπαγῇ τῶν κακῶν, ἀλλὰ τῷ φωτὶ τῆς ἀληθείας ἐξελέγχει τὰ κρυπτὰ τῆς ἀδικίας.

52. Τοὺς μὲν πρὸ σοῦ Βασιλεῖς ἡ ἀρχὴ κατεκόσμησε. Σὺ δὲ ταύτην Κράτιστε φαιδροτέραν ἐποίησας, ἡμερότητι κιρνῶν τῆς ἐξουσίας τὸν ὄγκον, καὶ χρηστότητι νικῶν τῶν προσιόντων σοι τὸν φόβον. Ὅθεν τῷ λιμένι τῆς σῆς γαληνότητος πάντες προσορμῶσιν οἱ ἐλέους δεόμενοι, καὶ τῶν κυμάτων τῆς πενίας ἀπαλλαττόμενοι, εὐχαριστηρίους ὕμνους σοι ἀναπέμπουσιν.

53. Ὅσον τῇ δυναστείᾳ πάντων ὑπερανέχεις, τοσοῦτον καὶ τοῖς ἔργοις ὑπερλάμπειν ἀγωνίζου. Ἀναλογοῦσαν γὰρ τῷ μεγέθει τῆς δυνάμεως τὴν ἐργασίαν τῶν καλῶν ἀπαιτεῖσθαι προσδόκησον. Ἵνα τοίνυν παρὰ Θεοῦ ἀνακηρυχθῇς, μετὰ τοῦ στεφάνου τῆς ἀηττήτου Βασιλείας, κτῆσαι καὶ τὸ στέμμα τῆς τῶν πενήτων εὐποιΐας.

54. Σκέπτου πρὶν ἐπιτάττειν ἃ θέλεις, ἵνα προστάττῃς ἐμφρόνως ἃ θέμις.





Εὐόλισθον γὰρ τὸ τῆς γλώττης ὄργανον, καὶ μέγιστον παρέχει τοῖς ἀμελοῦσι κίνδυνον. Εἰ δὲ τὸν εὐσεβῆ λογισμὸν ὡς μουσικὴν ἐπιστήσειας αὐτῷ, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούσεται μέλος.

55. Ὀξὺν μὲν εἶναι χρὴ περὶ πάντα τὸν Ἄνακτα, καὶ μάλιστα περὶ τὰς κρίσεις τῶν δυσχερῶν πραγμάτων, βραδὺν δὲ λίαν εἰς ὀργὴν ἐπικινεῖσθαι. Ἐπειδὴ γὰρ τὸ πάντῃ ἀόργητον εὐκαταφρόνητον, καὶ θυμούσθω μετρίως, καὶ μὴ θυμούσθω. Τὸ μὲν, ἵνα τῶν φαύλων τὰς ὁρμὰς ἀναστέλλῃ, τὸ δὲ, ἵνα τὰς ἀφορμὰς τῶν χρηστῶν ἀνιχνεύῃ.

56. Ἐν τῷ ἀκριβεῖ τῆς καρδίας σου βουλευτηρίῳ, ἐπιμελῶς κατανόει τῶν συνόντων σοι τοὺς τρόπους, ἵνα γινώσκῃς ἀκριβῶς καὶ τοὺς ἐν ἀγάπῃ θεραπεύοντας, καὶ τοὺς ἐν ἀπάτῃ κολακεύοντας. Πολλοὶ γὰρ εὐνοεῖν ὑποκρινόμενοι, μεγάλα τοὺς πιστεύοντας καταβλάπτουσι.

57. Λόγον ἀκούσας ὠφελῆσαι δυνάμενον, μὴ μόνον ἀκοῇ τοῦτον, ἀλλὰ καὶ πράξει διαδέχου· οὕτω γὰρ τὸ τοῦ Βασιλέως ἀγλαΐζεται κράτος, ὅταν ἢ παρ' ἑαυτοῦ τὰ δέοντα συνορᾷ, ἢ παρ' ἄλλου εὑρεθέντα μηδαμῶς παρορᾷ, ἀλλὰ μανθάνει μὲν ἀνεπαισχύντως, ἐπιτελεῖ δὲ ἀνυπερθέτως.

58. Ἀκρόπολις μὲν ἀπορθήτοις τείχεσιν ἠσφαλισμένη, καταφρονεῖ τῶν πολιορκούντων αὐτὴν πολεμίων. Ἡ εὐσεβὴς δὲ Βασιλεία ὑμῶν, ἐλεημοσύναις τετειχισμένη, καὶ προσευχαῖς περιπυργουμένη, ἀήττητος γίνεται τοῖς τῶν ἐχθρῶν βέλεσιν, ἀοίδιμα κατ' αὐτῶν ἐγείρουσα τρόπαια.

59. Χρῆσαι δεόντως τῇ κάτω βασιλείᾳ, ἵνα κλίμαξ σοι γένηται τῆς ἄνω εὐδοξίας. Οἱ γὰρ ταύτην κα-

καλῶς διοικοῦντες, μετὰ ταύτην κἀκείνης ἀξιοῦνται. Ταύτην δὲ διοικοῦσι καλῶς, οἱ πατρικὸν τοῖς ἀρχομένοις ἐπιδεικνύοντες πόθον, καὶ ἀρχικὸν παρ' αὐτῶν ἀντιλαμβάνοντες φόβον· ἀπειλὰς μὲν τὰ πταίσματα προανατέλλοντες, τιμωρίας δὲ πεῖραν αὐτοῖς οὐ προσάγοντες.

60. Ἱμάτιον ἀπαλαίωτόν ἐστι τὸ τῆς εὐποιΐας περιβόλαιον, καὶ ἀδιάφθορος στολὴ ἡ πρὸς τοὺς πένητας στοργή. Δεῖ οὖν τὸν βουλόμενον εὐσεβῶς βασιλεύειν, τοιούτοις ἐνδύμασι τὴν ψυχὴν καλλωπίζειν. Φιλοπτωχείας γὰρ ἠμφιεσμένος πορφύραν, καὶ Οὐρανίου Βασιλείας καταξιοῦται.

61. Σκῆπτρον Βασιλείας παρὰ Θεοῦ δεξάμενος, σκέπτε πῶς ἀρέσεις τῷ ταύτην σοι δεδωκότι· καὶ ὡς πάντων ἀνθρώπων ὑπ' αὐτοῦ προτιμηθεὶς, πλέον πάντων ἔπειγου καταγεραίρειν αὐτόν. Τοῦτο δὲ γέρας ἡγοῦ εἶναι μέγιστον, ἂν ὡς αὐτὸν τοὺς ὑπ' αὐτοῦ διαπλασθέντας ὁρᾷς, καὶ ὡς χρεῶν καταβολὴν τὰς εὐποιΐας πληροῖς.

62. Τρέχειν μὲν εἰς τὴν ἄνω βοήθειαν πᾶς ἄνθρωπος ὀφείλει, ὁ σωτηρίας γλιχόμενος· ὁ Βασιλεὺς δὲ πρὸ πάντων, ὡς μεριμνῶν ὑπὲρ πάντων. Ὑπὸ τοῦ Θεοῦ γὰρ φυλαττόμενος, καὶ τοὺς πολεμίους καταγωνίζεται γενναίως, καὶ τοὺς οἰκείους κατασφαλίζεται σπουδαίως.

63. Ὁ μὲν Θεὸς οὐδενὸς δεῖται, ὁ Βασιλεὺς δὲ μόνου Θεοῦ. Μιμοῦ τοίνυν τὸν οὐδενὸς δεόμενον, καὶ δαψιλεύου τοῖς αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ τοὺς σοὺς οἰκέτας, ἀλλὰ πᾶσι παρέχων τὰς πρὸς τὸ ζῆν αἰτήσεις. Πολὺ γὰρ κρεῖττόν ἐστι διὰ τοὺς ἀξίους ἐλεεῖν καὶ τοὺς ἀναξίους, ἢ τοὺς ἀξίους ἀποστερεῖν διὰ τοὺς ἀναξίους.





64. Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν· ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις, καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡμῶν καταλλαγῇ ἡ πρὸς Θεὸν φιλία, καὶ οἰκείωσις.

65. Δεῖ τὸν ἀμέμπτως ἀνάσσειν ἐσπουδακότα, καὶ τὰς τῶν ἔξωθεν ἀδοξίας φυλάττεσθαι, καὶ ἑαυτὸν πρὸ ἐκείνων αἰσχύνεσθαι, ἵνα καὶ τοῦ φανερῶς ἁμαρτάνειν δι' ἐκείνους ἀπέχηται, καὶ τοῦ κατ' ἰδίαν πλημμελεῖν ὑφ' ἑαυτοῦ κωλύηται. Εἰ γὰρ οἱ ὑπήκοοι αἰδοῦς ἄξιοι φαίνονται, πολλῷ πλέον ὁ Βασιλεὺς ἄξιος ταύτης γίνεται.

66. Ἰδιώτου μὲν εἶναι κακίαν φημὶ, τὸ πράττειν φαῦλα καὶ κολάσεως ἄξια· ἄρχοντος δὲ πονηρίαν, τὸ μὴ ποιεῖν τὰ καλὰ, καὶ σωτηρίας πρόξενα. Οὐ γὰρ ἡ τῶν κακῶν ἀποχὴ δικαιοῖ τὸν κρατοῦντα, ἀλλ' ἡ τῶν καλῶν παροχὴ στεφανοῖ τὸν τοιοῦτον. Μὴ μόνον τοίνυν πονηρίας ἀπέχεσθαι λογιζέσθω, ἀλλὰ καὶ δικαιοσύνης ἀντέχεσθαι σπουδαζέτω.

67. Ἀξιωμάτων λαμπρότητας οὐ δυσωπεῖται ὁ θάνατος. Κατὰ πάντων γὰρ ἐπιβάλλει τοὺς παμφάγους αὐτοῦ ὀδόντας. Οὐκοῦν πρὸ τῆς ἐκείνου ἀπαραιτήτου παρουσίας, μεταθῶμεν εἰς Οὐρανὸν τὴν τῶν χρημάτων περιουσίαν. Οὐδεὶς γὰρ ἃ ἐν Κόσμῳ συνάγει, ἐκεῖσε ἀποδημήσας ἀπάγει, ἀλλὰ πάντα καταλιπὼν ἐπὶ γῆς, γυμνὸς λογοθετεῖται τὸν βίον αὐτοῦ.

68. Κύριος μὲν πάντων ἐστὶν ὁ βασιλεὺς, δοῦλος δὲ μετὰ πάντων ὑπάρχει Θεοῦ. Τότε δὲ μάλιστα κληθήσεται κύριος, ὅταν αὐτὸς ἑαυτοῦ δεσπόζῃ, καὶ ταῖς ἀτόποις ἡδοναῖς μὴ δουλεύῃ. Ἀλλὰ σύμμαχον ἔχων τὸν εὐσεβῆ λογισμὸν, τὸν ἀήττητον αὐτοκρά-

τορα τῶν ἀλόγων παθῶν, τοὺς πανδαμάτορας ἔρωτας τῇ πανοπλίᾳ τῆς σωφροσύνης καταγωνίζεται.

69. Ὃν τρόπον αἱ σκιαὶ τοῖς σώμασιν ἕπονται, οὕτως αἱ ἁμαρτίαι ταῖς ψυχαῖς ἀκολουθοῦσιν, ἐναργῶς τὰς πράξεις ἐξεικονίζουσαι. Διὰ τοῦτο οὐκ ἔστιν ἐν τῇ κρίσει ἀρνήσασθαι· αὐτὰ γὰρ ἑκάστου καταμαρτυρήσει τὰ πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φανέντα, οἷα παρ᾽ ἡμῶν ἐπράχθησαν.

70. Νηὸς ποντοπορούσης μιμεῖται διάβασιν ἡ βραχυτελὴς τοῦ παρόντος βίου κατάστασις, ἡμᾶς τοὺς αὐτῆς πλωτῆρας λανθάνουσα, καὶ κατὰ μικρὸν παρασύρουσα δρόμον, καὶ πρὸς ἴδιον ἑκάστου παραπέμπουσα τέλος. Εἰ τοίνυν ταῦθ᾽ οὕτως ἔχει, παραδράμωμεν τὰ παρατρέχοντα τοῦ Κόσμου πράγματα, καὶ προσδράμωμεν τοῖς εἰς αἰῶνας τῶν αἰώνων μένουσιν.

71. Ὁ σοβαρὸς, καὶ ὑπερόφρυς ἄνθρωπος μὴ ὡς ταῦρος ὑψικέρατος ἐπαιρέσθω, ἀλλ᾽ ἐννοείτω τῆς σαρκὸς τὴν ὑπόστασιν, καὶ παυέτω τῆς καρδίας τὴν ἔπαρσιν. Εἰ γὰρ καὶ γέγονεν ἄρχων ἐπὶ γῆς, μὴ ἀγνοείτω ὑπάρχων ἐκ τῆς γῆς, ἀπὸ χοὸς ἐπὶ θρόνον ἀναβαίνων, καὶ εἰς αὐτὸν μετὰ χρόνον καταβαίνων.

72. Σπούδαζε διαπαντὸς ἀήττητε Βασιλεῦ, καὶ ὥσπερ οἱ τὰς κλίμακας ἀναβαίνειν ἀρξάμενοι οὐ πρότερον ἵστανται τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πρὶν ἂν τῆς ἄκρας ἐφίκωνται βαθμίδος· οὕτω καὶ αὐτὸς ἔχου τῆς τῶν καλῶν ἀναβάσεως, ὅπως ἂν καὶ τῆς ἄνω Βασιλείας ἀπολαύσεις· ἣν σοι παράσχοι Χριστὸς μετὰ τῆς Ὁμοζύγου, ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ βασιλευομένων, εἰς τοὺς αἰῶνας. Ἀμήν.





# ΧΡΗΣΤΟΗΘΕΙΑ
## ΑΝΤΩΝΙΟΥ
## ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ
## ΜΕΤΕΝΕΧΘΕΙΣΑ
## ΕΚ ΤΗΣ ΛΑΤΙΝΙΔΟΣ
## ΕΙΣ ΕΛΛΗΝΙΚΗΝ ΦΡΑΣΙΝ.

Τιμιώτατον μὲν τῶν ἐν ἀνθρώπῳ μερῶν ἡ ψυχὴ, καὶ παρὰ πολὺ θατέρου, δηλονότι τοῦ σώματος ὑπερκείμενον, ὑποβέβηκε δ᾽ ἐκεῖνο ταύτῃ ὅσαπερ ὄργανον αὐτῇ συντελοῦν. Ταύτῃ τοι καὶ τοῦ πλείονος μὲν εἰκὸς ἀξιοῦσθαι λόγου, ὅσα γ᾽ ἐκείνη διαφέρει εἰς κόσμον αὐτῆς συντρέχοντα καὶ τελειότητα. Οὐ μὴν διὰ τοῦτο παντάπασιν ὀλιγωρητέον τοῦ σώματος, μηδ᾽ ὁτιοῦν λόγου περὶ τὴν ἐκείνου πρόνοιαν συνεισφέροντας, ἀλλ᾽ ὡς οἰκείου μέρους κἀκείνου κήδεσθαι δέον καὶ προνοεῖσθαι, μηδὲ παρορᾶν τὴν ἔσωθεν εὐκοσμίαν. Οἱ γὰρ ἄνθρωποι ἐκ μόνης ὄψεως κρίνειν φιλοῦντες τὰ πράγματα, τὰ μὲν ἀφανῆ τῆς ψυχῆς οὐκ ἐξετάζουσι προτερήματα, τῇ δ᾽ ἔξω εὐκοσμίᾳ, καὶ τῇ περὶ τὰς πράξεις οἰκονομίᾳ, τὴν ἐνδόμυχον τῆς ψυχῆς θηρᾶσθαι πειρῶν-

σαι διάθεσιν· * τοιαύτην περὶ ἑκάστου ἔχειν εἰωθότες δόξαν, ἥπερ αὖ αὐτοὺς περὶ τῆς ἔξω κοσμιότητος, ἢ ἀκοσμίας ἔχοντας αἴσθωνται. Καὶ διὰ ταῦτ᾽ ἄρα καλῶς ἔχον ἐστὶ, πρώτως τῆς κατὰ ψυχὴν εὐταξίας φροντίζοντας, μηδεμίαν τε περὶ ἐκείνην ἀπολείποντας ἐπιμέλειαν, μηδὲ τὴν ἐν τοῖς δοκοῦσι μικροῖς πρόνοιαν παραιτεῖσθαι. Καὶ σώματι γὰρ τὴν ἄλλην περιειληφότι πᾶσαν, εἴ τις ἐστὶ κάλλους ὑπερβολὴ, φακὸς ἢ ἀκροχορδὼν εἰς αἴσχους μοῖραν οὐ τὴν τυχοῦσαν κρίνεται. Ἄλλως τε καὶ ὥσπερ αἱ μυῖαι τὸ κάλλιστον τῆς ὀπώρας παραδραμοῦσαι, καὶ τὴν λοιπὴν εὔχροιάν τε καὶ εὐκοσμίαν ὑπερπτᾶσαι, πρὸς τὸ σεσηπὸς καὶ δυσῶδες φέρονται· κατὰ ταῦτα δὴ καὶ οἱ πολλοὶ τυφλαῖς ὡσπερεὶ χρησάμενοι ταῖς αἰσθήσεσι πρὸς τὰς λοιπὰς ἀρετὰς, εὔρινες εἰσὶ καὶ πρὸς τὰ μικρὰ τῶν ἐλαττωμάτων, κἀκείνοις ἐφιζάνουσί τε καὶ ἐμφύονται κατὰ τὰς

* Χρηστοήθεια τὸ παρὸν ὀνομάζεται Σύγγραμμα, χρηστότητα ἠθῶν, καὶ κοσμιότητα τρόπου ὑποτιθέμενον. Μετενήνεκται δ᾽ ὑπό τινος ἐκ τῆς λατινίδος φωνῆς εἰς ἁπλῆν φράσιν. Μετωχετεύσατο δ᾽ αὖθις εἰς τὴν Ἑλληνικὴν ὁ Ἐλλόγιμος καὶ ἐν σπουδαίοις ἄριστος Ἀντώνιος ὁ Βυζάντιος, ὁ τῆς ἐν Κωνσταντινουπόλει Σχολῆς τῶν Γραμματικῶν Μαθημάτων Καθηγητὴς, ἃ μὲν προσθεὶς, ἃ δὲ ἀφελόμενος, τοῦ ἁπλοῦ ἀτελοῦς καὶ ἀκοσμήτου τυγχάνοντος. Καταγλαΐσας δ᾽ ἐκεῖνος τῷ κάλλει τοῦ Ἑλληνικοῦ χαρακτῆρος, καὶ μὴν καὶ κοσμήσας ποικίλῃ τῇ προθήκῃ τῶν νοημάτων, εἰς φῶς ἤγαγε, καὶ τοῖς φιλολόγοις καὶ ἀναγινώσκουσιν αὐτὸ (ὡς ἔχουσιν ἐντεῦθεν ῥυθμίζειν, καὶ τὰ ἤθη κοσμεῖν) πολλάς τε ὑποθήκας ἐνέθηκεν. Ὥστινι οἱ ἐντυγχάνοντες τὸν ἄνδρα θαυμαζέτων, τῷ τε ὕψει τῆς φράσεως, καὶ τῇ τοῦ λόγου ἰδέᾳ, καὶ δι᾽ εὐφήμου γλώττης ὅτι μάλιστα ἀγέτων. Χρηστοήθεια δ᾽ ἐστὶ καὶ ἡ παρ᾽ Ἰταλοῖς Galateo καλουμένη Βίβλος.



τὰς μυίας. Κἂν οὖν ἡμῖν ἐνταῦθα περὶ μικρῶν ὁ λόγος, καὶ περὶ ὧν οὐδὲ λεγόντων οἱ πλείους ἀνέχονται, ἀλλὰ τοῖς γε καλῶς κρίνουσι καὶ τοῖς ἐν πᾶσι τελειότητος ἀντεχομένοις, οὐκ ἀσύμφορον παισὶν ἐκ πρώτης, φασὶ, γραμμῆς τοῦ ζῆν, πρὸς ἀρετὴν ἐκ τύπων ἐθίζεσθαι. Τάχα γὰρ αὖ σὺν τῇ ἐπιδόσει τῆς ἡλικίας ἐπὶ τὴν ψυχὴν τὸν κόσμον μετοχετεύσειαν.

# ΚΕΦΑΛΑΙΟΝ Α΄.

## Περὶ τῆς πρὸς τὰ Θεῖα μετὰ συστολῆς αἰδοῦς καὶ εὐλαβείας.

§. α΄.

Οὐ μόνον εὐσεβὲς, κατὰ τὸν Θεολόγον, ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι, ἀλλὰ καὶ τῷ βίῳ λυσιτελέστατον. Ἐπείπερ ἐν ἐκείνῳ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν, ὥς φησιν ὁ Ἀπόστολος. Ταῦτά τοι πρὸ πάντων ὀφειλόμενον ἐστὶ παντὶ εὐσεβοῦντι τῆς εὐνῆς ἐγερθέντι, πρὸς Θεὸν εὐθὺς τὴν διάνοιαν ἀνατεῖναι, χάριτάς τε αὐτῷ ἐπὶ πᾶσιν ὁμολογεῖν, μάλιστα δὲ ἐπὶ τῇ ἐξηκούσῃ νυκτὶ, ἣν δι᾽ ἐκείνου διήνυσεν ἀνεπηρέαστον, ἀλλὰ δὴ καὶ τὴν ἐνεστηκυῖαν ἡμέραν εἰς τὴν κατ᾽ ἀρέσκειαν αὐτῷ βιωτὴν ἐξαιτεῖσθαι μετ᾽ εὐλαβείας τῆς δεούσης καὶ πίστεως, οὐ μὴν τῷ ἔθει, ὡς οἱ πλείους ἀφοσιούμενον. Τὸ γὰρ τοῖς χείλεσιν ὑποτονθορίζειν εὐχὰς καὶ ψαλμοὺς, νῷ δὲ καὶ ταῖς αἰσθήσεσι πρὸς ἄλλ᾽ ἀσχολεῖσθαι, κατάγνωσιν ἀντ᾽ ὠφελείας ἄντικρυς αἰτιᾶται.

§. β΄. Εἶτα δ᾽ ἀμέσως φροντιζέσθω ἡ πρὸς εὐκτηρίους οἴκους πρόοδος, ἐπ᾽ ἀκροάσει τῆς Ἱερᾶς μυσταγω-



SISMANOGLIO

γωγίας· ὅπερ εἰ οἷόν τε μὲν ἑκάστης ἡμέρας γινέσθω, εἰδὲ τοῦτό γε οὐκ ἐνδέχεται, ἐν μέντοι ταῖς Κυριακαῖς καὶ ταῖς ἑορτασίμοις τῶν ἡμερῶν, οὐ θέμις τῆς τῶν εὐσεβῶν ἀπολείπεσθαι συνελεύσεως.

§. γ΄. Εἰσιόντι δὲ παραυτίκα τὸ τῆς κεφαλῆς ἀφαιρείσθω ἐπίβλημα, δι' οὗ μέλλεις τὴν πρὸς τὰ θεῖα εὐλάβειαν, καὶ τὴν μετὰ συστολῆς τε καὶ αἰδοῦς προσέλευσιν παραστήσασθαι· εἶτα πρὸς τὸ Ἱερὸν Βῆμα ἀποτετάσθων αἱ ὄψεις, ὅπου ὁ οὐράνιος Ἄρτος ὑπὲρ σοῦ καθ' ἑκάστην ἱερουργεῖται, ἵνα σε ψυχικῶς διαθρέψῃ, μετ' εὐλαβείας τε ὅτι πλείστης αἱ εὐχαί σου τῷ ἀοράτως ἐκεῖσε παρόντι Θεῷ προσαγέσθωσαν.

§. δ΄. Οὕτω δ' ἀπελθὼν ἵστασο ἐφ' ἧσπερ εἰληχὼς ἧς στάσεως, τὸ δημῶδες ἐκεῖνο καὶ βάρβαρον ἔθος ἥκιστα προσιέμενος, οἵτινες πρὸς τοὺς συνισταμένους οὐ παύονται διαλεγόμενοι, καὶ τὸν τῆς προσευχῆς καιρὸν εἰς ἀδολεσχίαν ἑαυτοῖς πορίζόμενοι. Σὺ δ' ὡς Θεῷ παρεστηκὼς οὔτε λαλεῖν, οὔτε μὴν τῇδε κἀκεῖσε περισκοπεῖν, ἀλλὰ σὺν δέει τὸν τῆς προσευχῆς καιρὸν διαγίνεσθαι μελετῶν ἔσο· κἂν ἰδίᾳ ποτέ σοι προσεύξασθαι δόξῃ, ἀρκεῖ καθ' ἑαυτὸν ἐντυγχάνοντα Θεῷ μὴ ἐπιταράττειν τὰς τῶν πλησίον εὐχὰς τοῖς στεναγμοῖς, καὶ ταῖς οὐκ ἐν ἡσυχίᾳ ἐπικλήσεσιν· οὐ μόνον γὰρ φορτικὸς ἐκ τούτου, ἀλλὰ καὶ πρὸς ἀνθρωπαρέσκειαν ποιεῖν ὑποληφθήσῃ.

§. ε΄. Ἐπὶ δὲ τούτοις (εἰμή τις νόσος διενοχλῇ) καθῆσθαι ἐν ταῖς Ἱεραῖς Τελεταῖς οὐκ ἐφεῖται· ἀλλὰ καὶ ἀκαλύπτῳ κεφαλῇ, εἰ οἷόν τε διαρκεῖν ὀφείλεται ἐν ὅλῳ τῷ τῆς προσευχῆς χρόνῳ· εἰδὲ εἶθ' αἱ ἀπὸ τῆς ὥρας ἢ τῆς φύσεως περιστάσεις οὐ συγχωροῦσιν, ἐν γεμὴν δέοντι ἀναγκαία, ἢ τῆς κεφαλῆς

λῆς

SISMANOGLIO



λῆς ἀνακάλυψις· ὁ προσευχόμενος γάρ τοι κατὰ Παῦλον, κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν ἑαυτοῦ κεφαλήν.

§. ϛ΄. Ἐν τῇ μετ' ἀλλήλων διαλέξει ἄλλως τε ἐν τοῖς περὶ γελοίων λόγοις ἀπέστω πᾶσα γραφικὴ ῥῆσις· ληρεῖς γάρ, (ἥτις ἔφη φιλοσοφῶν) ἐν οὐ δέοντι. Μήτε τοῖς πρὸς ἀλλήλους σκώμμασι, καὶ ἀστεΐσμασι παραμιγνύσθω τὰ θεῖα· εἴπερ γὰρ τοὺς περὶ τῶν ἐν τέλει λόγους οὐκ ἀκίνδυνον ἐπὶ γέλωτι προφέρειν, πῶς οὐ τῶν ἀτοπωτάτων ἐπὶ χλεύῃ τὰ θεῖα προτίθεσθαι; Ἔστω οὖν παντὶ καιρός, κατὰ τὸν εἰπόντα Σοφόν. Ὁμοίως γὰρ αἰσχρὸν ἔντε γελοίοις θεολογεῖν, καὶ ἐν σπουδαίοις τῶν γελοίων ἀντέχεσθαι.

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

### Περὶ τῆς ἐν ταῖς ἀναστροφαῖς εὐταξίας.

§. ζ΄.

Πᾶν ὅ,τι ἂν μέλλῃς πράττειν, χαίρων καὶ φαιδρῷ προσώπῳ ποίει.

§. η΄. Σὺν οὐκ ὀλίγῃ δὲ προσοχῇ διευλαβοῦ τοῖς κρυφίοις τῶν μελῶν παραβάλλειν τὴν χεῖρα, ἢ ὅλως προσαπτόμενον φαίνεσθαι, πρὸς ὃ ἡ καθ' ἑαυτὸν μελέτη χρήσιμος.

§. θ΄. Οὔτε ποιεῖν οὔτε λαλεῖν ἀνέχου, ἃ τοῖς συνοῦσιν ἀηδίαν αἰτιᾶται.

§. ι΄. Μελέτα μηδ' ᾄδειν, μήτε ψάλλειν καθ' ἑαυτὸν ὑποτονθορίζων, μᾶλλον δὲ τοῦτο συνὼν ἄλλοις φυλάττου. Ἀπέστω δὲ καὶ ἡ καθ' ἑαυτὸν χειρονομία,



τὴν

ἥν τινες χερσὶν ἢ ποσὶν, ὡσπερεὶ πρὸς μέλη κιθάρας σκιαμαχοῦντες, ποιεῖν εἰώθασι.

§. ιά. Μὴ πρίε τοὺς ὀδόντας, μήτ' ἄλλοτι ὧν οἶδας ὄχλησιν τοῖς ὁμιλοῦσι φέρον ἐργάζου.

§. ιβ'. Καὶ τὸ σκορδινᾶσθαι δὲ ἐπὶ παρουσίᾳ τινῶν ἀτάκτως, ἀναπεταννύντα τὰς χεῖρας καὶ τὸ σῶμα τείνοντα, πολλῆς ἔχεται ἀτοπίας.

§. ιγ'. Εἴποτε βῆξαι, ἢ πτάραι δέησοι, μετὰ πολλῆς ὡς οἷόν τε προσοχῆς τοῦτο ποίει, μὴ τοὺς παρακαθημένους περιῤῥαίνων τῷ πτυέλῳ ὑπὸ τῆς βίας.

§. ιδ'. Τῶν ἀτόπων δὲ καὶ τὸ στένειν, μηδεμιᾶς ἐπειγούσης αἰτίας· εἰδέποτε δεήσοι, μνήμης τινὸς τῶν μὴ καταθύμων τὴν διάνοιαν ὑποδραμούσης, μὴ μετ' ἤχου καὶ τοῖς πᾶσι καταφανὴς ὁ στεναγμὸς γινέσθω.

§. ιέ. Εἰ μὲν οἷόν τε, ὅλως ἀποτρεπέτω σε τῆς χάσμης ὁμιλία φίλων ἢ ξένων· ἀκηδίας γὰρ καὶ νωθίας κρίνεται δεῖγμα, κἀκείνοις μετ' ἀηδίας τὴν συνουσίαν γίγνεσθαι δίδωσιν ὑπονοεῖν. Εἰδὲ οὐκ ἐπιτρέπει ἡ προλαβοῦσα ἀϋπνία, ἢ καρηβαρεία, μὴ ἐν μέσοις λόγοις χασμῷ χαίνων τοῖς παροῦσιν, ἀλλ' ὡς ἔνεστι κοσμιώτερον τὴν χεῖρα ἢ τὸ καψιδρώτιον ἐπιτειχίσας τῷ στόματι, ἀφελκύσας τε τὸ πρόσωπον, καὶ σαυτὸν εἴγ' ἔνι τῆς τῶν πολλῶν ὄψεως.

§. ιϛ'. Ἀπομυττομένῳ σοι παρέσω ἡ αἰδώς, ἀποτρέπου δὲ τὸ ὡσπερεὶ διὰ τῶν μυξωτήρων σαλπίζειν· βδελυρὸν δὲ καὶ τὸ ἐμβλέπειν τῷ ῥινομάκτρῳ τὴν κόρυζαν, καὶ τὸ τοῖς δακτύλοις ἀνακαθαίρειν τὴν ῥῖνα· ἔξεστι γάρ τοι τῷ ῥινομάκτρῳ εὐκόσμως τὴν χρείαν παραμυθήσασθαι.

§. ιζ'.



§. ιζ'. Βάρβαρον ἄντικρυς, καὶ ἥκιστ' ἑλληνικὸν, κοιμωμένου τινὸς διαλέξει χρῆσθαι, ἠρεμούντων τῶν ἄλλων κινεῖσθαι, μὴ σιγᾶν ἡνίκα οὐ λόγων ὥρα, ἀλλ' ἀκροάσεως. Τοῖς γε μὴν προεστῶσιν οὐκ ἀπείρηται περιπάτῳ χρῆσθαι, τῶν συνόντων οὐδὲν ἧττον ἀτρέμας ἐχόντων, οἷον Διδασκάλοις ἐν φροντιστηρίῳ ἐπὶ παρουσίᾳ τῶν ἀκροατῶν, ὁ περίπατος οὐκ ἀπηγόρευται.

§. ιή. Μὴ ἔσω σοι τὸ οἴκημα ἀκόρητον, μηδὲ τὰ ἔπιπλα ἀτάκτως ἐῤῥιμμένα. Αἰσχρὸν δὲ νόμιζε καὶ τὸ ἐπὶ παρουσίᾳ τινῶν περιδύεσθαι τὰ ἄμφια καὶ ἐνδύεσθαι, καὶ τὸ προέρχεσθαι τῆς οἰκίας μετὰ τοῦ νυκτερινοῦ πίλου, δέον γὰρ ὡς οἷόν τε κοσμιώτατον φαίνεσθαι.

§. ιθ'. Συσχολάζων τινὶ, μὴ μεγάλῃ χρῶ τῇ φωνῇ, ὡς ἐμποδὼν γίνεσθαι τοῖς ἄλλοις πρὸς τὴν ἀνάγνωσιν.

§. κ'. Ἐκεῖνο δὲ πολλὴν ἀτοπίαν ἐμφαίνει καὶ κακοήθειαν, εἴτις ἀπασχολοίη τοὺς συσχολαστὰς τῆς ἀκροάσεως, ἐξηγουμένου τὰ μαθήματα τοῦ Διδασκάλου. Ἐπὶ τούτοις φυλακτέον ἀκροώμενον Διδασκάλου ἐν φροντιστηρίῳ, ἢ δημοσίᾳ διδάσκοντα, νεύμασι τοῖς τῆς κεφαλῆς, καὶ κινήμασι τοῦ λοιποῦ σώματος μετὰ μειδιαμάτων ἐμφαίνειν σαυτῷ εὐξύνετα τὰ λεγόμενα· ἐρεθίζει γὰρ τοῦτο τοὺς συνακροωμένους ὀλιγωρίαν σφῶν, ὡς ἀξυνέτων ἄντικρυς ὑπογράφων.

§. κά. Χειμῶνος ὥρᾳ ὑπεξίστασο τοῦ πυρὸς καὶ τοῖς συνοῦσι· τὸ γὰρ ὥσπερ ἀποτυχίζειν σφίσι τὴν τοῦ πυρὸς μετουσίαν ἀβελτηρίας ἐστί.

§. κβ'. Ἐν τοῖς ἀθύρμασι τοῖς πρὸς ψυχαγωγίαν ἐνίοτε γινομένοις, οὐκ ἐπαινεῖται τὸ παρὰ τὸ

δέ

δέον· διόπερ οὐ χρὴ παρατείνειν αὐτὰ ἐπὶ πολύ, ὥστε ἐκλυθῆναι τῷ πόνῳ τὸ σῶμα, ἀλλ' οὐδὲ μεταξὺ βοαῖς ἀπρεπέσι χρηστέον, καὶ ἔρισιν ἀπαιδεύτοις· ἀλλὰ ἐν μέτρῳ καὶ μετὰ κόσμου πρακτέον τε καὶ λεκτέον, ἵνα ἐκ τῆς τὰ περὶ τὰ τυχόντα φιλοσοφίας εὐοδωτέρα εἴη πρὸς τὰ καίρια ἡ ὁδός. Καὶ μὴν κοπιώδει ὄντι τῷ σώματι, ἢ ἀπὸ ἀθύρματος, ἢ ὁδοῦ ἢ ἔργου, ἀσύμφορον ἡ τοῦ ὕδατος πόσις, καὶ τῇ ὑγιείᾳ πολέμιον, καὶ εἴπερ ποτε ἐν τῷ τοιούτῳ χρήσιμον ἡ ἐγκράτεια.

§. κγ'. Ἐπιπτύειν παρακειμένῳ πυρὶ, ἢ τὰς χεῖρας ἐπιτιθέναι δῆθεν ἐπὶ ἀλέᾳ, ὥστε ἅπτεσθαι τῆς φλογὸς κύπτοντα καὶ ὡσεὶ περιπτυσσόμενον τὸ πῦρ, τῶν ἐπιμώμων ἐστί.

§. κδ'. Ἑψομένου τινὸς ἐν πυρὶ, προσεκτέον μηδέποτε ἐκτείνειν πρὸς ἐπ' αὐτῷ τὸν πόδα, σχεδὸν γὰρ ὕβρις ἐστὶ τῷ ἐπικειμένῳ· ἀλλ' οὐδὲ τὰ νῶτα πρὸς θέρμην τρέπειν εἰκὸς ἐπὶ παρουσίᾳ τιμίων ὡς μὴ περιφρονεῖν ἐκείνων δῆθεν δοκοίη, ἢ τὸ πῦρ ἀνασκαλεύειν πυράγρα, προστιθέναι τε καὶ περιαιρεῖν ὑπεκκαύματα, ἢ τοὺς δαυλοὺς ἀφαιρεῖν τῆς τέφρας· δουλικὰ γὰρ ταῦτα, εἵλωσι παραχωρητέον.

§. κε'. Καὶ τὸ ἀπονυχίζεσθαι δὲ παρόντων τῶν φίλων, ἢ τοῖς ὀδοῦσι περιτρώγειν τὰ ὑπερέχοντα τῶν ὀνύχων, πολλῆς ἐστὶ μιαρίας ἔλεγχος.

§. κς'. Φυλάττεσθαι δέ σε δεῖ καὶ τὸ τοὺς δακτύλους καθιέναι τῷ στόματι περιλείχειν τε αὐτοὺς κυνὸς δίκην· εἰσὶ γὰρ οἱ καὶ τοῦτο ὑπ' ἔθους ἐπιτηδεύουσι, καὶ τὸν τῆς ὁμιλίας χρόνον οὕτω διαγίνονται, ἀποστροφῆς αἰτίαν τοῖς ὁμιλοῦσι παρέχοντες· σὺ δὲ τούτου ἀπέχου. Ἐπὶ τούτοις δὲ τὰς σκυ-



ταλίδας τῶν δακτύλων μηδὲ λύγιζε στρεβλῶν ὡσεὶ ἐξαρθροῦν ἔμελλες, τῶν οὐκ ἐπαινουμένων γὰρ καὶ τοῦτο.

§. κζ'. Περὶ δὲ τὸ καθέζεσθαι τῷ ἐπιχωριάζοντι ἔθει χρηστέον· εἰ γὰρ ἄλλον αὐτὸς ἠγμένος τρόπον ᾖς, κἂν τῶν ἐπαινουμένων εἴη, μεταμαθεῖν σοι δεή σοι πρὸς τοὺς τόπους ἀμείβοντα τὰ ἔθη, ὡς μὴ μόνος τῶν ἄλλων ξενίζων τῷ τῆς ἀγωγῆς τρόπῳ γέλωτα ὀφλισκάνῃς. Κοινὸν δέ γε πρὸς πάντας ἔστω παράγγελμα, τὸν ἥττω τῷ προὔχοντι ἀξίᾳ, ἢ σοφίᾳ, ἢ ἡλικίᾳ, ἢ τῷ τῶν ὁμοίων, ἐπὶ γόνυ ποιεῖσθαι τὴν καθέδραν ἐς ἂν ἐκεῖνος κελεύσῃ ἐνδοὺς καθέζεσθαι τὸν ἐλεύθερον τρόπον. Καθεζομένῳ περιεστάλθαι σοι μελέτω ἀεὶ τὰ ἱμάτια, μηδὲ προφαίνειν τὴν ἀναξυρίδα, καὶ τὰς περισκελίδας, ἀλλὰ κατὰ τὸ ἐνὸν περικεκαλυμμένον καθῆσθαι.

§ κή. Κίνησις κεφαλῆς καὶ ποδῶν ἀναίτιος, καὶ βλέμμα σεσοβημένον, καὶ παράφορον, ἥτε τῶν ὀφρύων, καὶ τοῦ παντὸς σώματος συνολκὴ, καὶ ἡ τῶν χειλέων διαστροφὴ, μανικὰ προφανῶς, καὶ φευκταῖα, οἷς κοσμιότητος μέλει.

§. κθ'. Καὶ προσδιαλεγόμενος προσέχων ἔσο, μὴ περιρραίνειν τῷ πτυέλῳ τοὺς παρισταμένους· γένοιτο δ' ἂν τοῦτο εἰ μήτ' ἐπίτροχα λαλῇς, μήθ' οἷον προσφὺς τοῖς ἀκροωμένοις. Τηρείσθω σοι οὖν ἡ τοῦ λόγου μεσότης, τότ' ἠπειγμένον καὶ τὸ ἄγαν σχολαῖον, καὶ ἀπὸ τρυπάνης, ὃ λέγεται, τοὺς λόγους προφέρειν ἀποιουμένῳ· τὸ μὲν γὰρ θηλυπρεπὲς, τὸ δὲ μανικόν. Χρῆσις μὲν οὖν ἥδε σοι ἔστω τοῦ λόγου, μέτρον δὲ ἡ χρεία· σύμμετρον γὰρ εἶναι δεῖ τοῖς πράγμασι τὸν λόγον, ὡς ἱμά-

τιον

τιον σώματι, ὧν ἑκατέροις τὸ παρὰ τὸ δέον ἐπίμωμον.

§. λ΄. Ψύλλας, καὶ ὅσα τούτοις ὅμοια κτείνειν ἐν ὀφθαλμοῖς τῶν συνόντων, ναυτίας ἐστὶν αἴτιον. Εἰ τοίνυν τῶν τοιούτων τι, ἢ μύξης, ἢ φλέγματος εἴη ἐπὶ τῷ ἱματίῳ τοῦ προσδιαλεγομένου, μετὰ πολλῆς ἀστειότητος ἀφαιρήσεις, ὡς μηδὲ ἐκεῖνον συνιέναι. Καὶ τὰ ἐπὶ τοῦ ἐδάφους δὲ, ἐφ᾽ οὗ ἱστάμενος ἧς, τοῖς ποσὶ παρατρίβων ἐξάλειφε, ὡς μὴ ὁραθέντα ἀηδίαν κινήσῃ. Εἰ δὲ ἐπὶ σοὶ τῶν τοιούτων τι ὂν, ἀφαιροῖτο τίς ἄλλος, μετ᾽ αἰδοῦς ἅμα καὶ χάριτος ἐπιτρέψαι προσήκει.

§. λα΄. Μηδέποτε ἀποχρεμπτόμενος ὡς οἷόν τ᾽ ἀποσφενδονίσῃς τὸν πτύελον· αἰσχρὸν γάρ· ἀπὸ θυρίδων εἰς τὴν λεωφόρον ἀπέχου καταπτύειν πολλῶν ἕνεκα. Μηδὲ τοὺς τῆς οἰκίας τοίχους κατάβρεχε τοῖς πτύσμασι· χρῶ δὲ τοῖς ἐπὶ τούτῳ πεποιημένοις ἀγγείοις· κἂν μὴ παρῇ, τὸ ῥινόμακτρον ἀποπληρούτω τὴν χρείαν.

§. λβ΄. Ἐν συνελεύσει κατὰ νώτου ποιεῖσθαι τοὺς συμπαρέδρους, πρὸς τῇ ὑπεροψίᾳ, καὶ ἀβελτηρίας ἐστὶν ἔλεγχος.

§. λγ΄. Συνδειπνῶν δὲ, μὴ ἐπίκυπτε τῇ τραπέζῃ ἐπικείμενος, καὶ τοῖς ἐδέσμασιν ἐπιχαίνων· μηδὲ τὴν τράπεζαν τῇ χειρὶ πλῆττε, μηδὲ τῷ παρακειμένῳ οἷά περ ἐρείσματι χρῶ παραγκωνιζόμενος αὐτὸν ἐν τῷ καταβροχθίζειν χανδὸν τὰ ὄψα.

§. λδ΄. Προσδιαλεγόμενος δέ τινι τῶν συσσίτων, μὴ τῶν ἱματίων αὐτὸν ὡς χαλινοῦ ἕλκε πρὸς τὴν ἀκρόασιν τῶν λόγων· μηδὲ τοῖς ἀγκῶσιν ὄρυττε αὐτοῦ τὰς πλευράς· ἀρκείτω δέ σοι καλεῖν αὐτὸν

ἐξ



ἐξ ὀνόματος, ἢ τῷ τῶν εὐφημοτέρων προσρημάτων. Ἐν δὲ τοῖς λόγοις γλώσσῃ μόνῃ χρώμενος ἀγάπα, ἀλλὰ μὴ καὶ χερσὶ, καὶ ποσὶ συγχρῶ πρὸς τὰς διαλέξεις, πρὸς ἀλλήλας ἐπιτρίβων τὰς χεῖρας ἢ τοὺς πόδας περικατέχων· καὶ τὸ περιβλέπειν ἐν κύκλῳ διαλεγόμενον ἔμπληκτον. Διὸ τῷ προσλαλοῦντι ὑπερηρείσθωσάν σου οἱ ὀφθαλμοὶ, οὐ μὴν δὲ, ὥστε μὴ ἐνδιδόναι ἐκείνῳ εἰ δεήσοι ἀπομύξασθαι, τῷ παντελῶς ἀσκαρδαμυκτὶ ἀντιβλέπειν.

§. λε΄. Ἀποτρόπαιον μὲν τοῖς ἐντυγχάνουσι ποιεῖ τὸ παντελῶς ἀτημέλητον, καὶ ἀθεράπευτον τοῦ σώματος· οὐ μὴν οὕτω χρηστέον τοῖς καλλωπίσμασιν ὡς εἰς τὸ γυναικῶδες, καὶ τεθρυμμένον ἐκπίπτειν. Μὴ οὖν συχνῶς ἀσχολείσθω ἡ χεὶρ περὶ τὸ τῆς κεφαλῆς κάλυμμα, μηδὲ τὴν κόμην ὅσαι ὧραι διευθετοῦσα καὶ τὴν ζώνην, μηδὲ οἱ ὀφθαλμοὶ πρὸς τὸν τῶν ἀμφίων κόσμον ὅλως ἐξασχολείσθων, ἐρωτᾶν πείθοντες τοὺς συνόντας, εἰ κἀκείνοις καλῶς ἔχειν ὁ ἱματισμὸς δοκεῖ.

§. λς΄. Οἱ ὄνυχες μὴ ἐπὶ πολύ σοι τηρείσθωσαν, ἀλλά σοι μελέτω ἀπονυχίζεσθαί τε, ὥστε μὴ ἀκοσμεῖν· καὶ τ᾽ ἄλλα περί τε τὰς τῶν χειρῶν, καὶ ὀδόντων σμήξεις μὴ παροράσθαι· οὐ μὴν ὑπὲρ τοῦ δέοντος εἰς γυναικείας θρύψεις διεκπίπτειν.

§. λζ΄. Ἄτοπον δὲ καὶ τὸ τὰς παρειὰς ἐξοιδεῖν ἐμφυσῶντα, καὶ τὴν γλῶτταν προφαίνειν κατὰ τοὺς κύνας, καὶ τὸ τὴν ὑπήνην διὰ χειρὸς ἔχειν, καὶ τὸν μύστακα συνεχῶς τοῖς δακτύλοις παρατρίβειν, ἢ ταῖς παλάμαις ἀναιτίως κροτεῖν,

δά-

δάκνειν τε τοῖς ὀδοῦσι τὰ χείλη, καὶ διαμασσᾶσθαι διαστρέφοντα. Τὰ δὲ χείλη μήτ' ἄγαν συνεσφίγχθω, οὔτε μὴν παρείσθω ὥστε προφαίνειν τοὺς ὀδόντας.

§. λή. Μηδένα ἀστειζόμενος σκῶπτε· ὃν δ' αὖ εἰδοίης βαρέως ἔχοντα πρὸς τὰς εὐτραπελίας, τούτῳ μηδέποτε λόγους ἐπ' ἀστειότητι προσαγαγεῖν ἐθελήσεις.

§. λθ'. Ἐν συνελεύσει πολλῶν λίαν κρίνεται φορτικὸν, βίβλους ἢ ἐπιστολὰς προφέροντα ἀναγινώσκειν, περιφρονητικὸν γάρ· εἰμήπου ἐπειγούσης χρείας, καὶ τότε ἐπιτραπῆναί σοι τοῦτο παρὰ τῶν συνόντων αἰτήσας, εἰμή τοι προὔχων ᾖς τῶν παρόντων.

§. μ'. Πρὸς τούτοις οὐ δεῖ τ' ἀλλότρια περιεργάζεσθαι, ἐπιβάλλοντα τοῖς μηδαμῶς ἀνήκουσί σοι, ἀναγινώσκοντος, ἢ γράφοντός τινος.

§. μά. Εἰ δέ ποτε τι ἐν φανερῷ ἀναγινωσκόμενον ἐπὶ πολλῶν ᾖ, θρασύτητος γέμει πολλῆς, πρὶν ἐρωτηθῆναι τὴν σαυτοῦ διεξέρχεσθαι γνώμην, ἐπαινοῦντα, ἢ μεμφόμενον.

§. μβ'. Τὰ περὶ τὸ πρόσωπον μὴ κατάπληκτος ἔσο, καὶ ἐπτοημένος, μηδὲ ὀρίγανον ὃ λέγεται, βλεπέτωσαν σου τὰ ὄμματα· ἀλλ' ἐπὶ γαλήνου καὶ σεμνότητι συγκράτου τὸ πρόσωπον κατασήματος ὡς οἷόν τε διατήρει.

§. μγ'. Μήτε ἐν σπουδαίοις γέλωτι χρῶ, μήτ' ἐν γελοίοις σαυτὸν ἐπὶ τοῦ σεμνοῦ φύλαττε· ὁμοίως γὰρ ἑκάτερον ἄτοπον. Μέτρον δὲ γέλωτος ἔστω σοι τὸ προσμειδιᾶν, καὶ ἐπ' ἄκρων τῶν χειλέων προφαίνειν τὴν τῆς ψυχῆς διάχυσιν· τὸ δὲ καγχάζειν ὡς μανικὸν ἀεὶ διευλαβούμενος ἔσο.

ΚΕ-



## ΚΕΦΑΛΑΙΟΝ Γ'.

### Τὰ περὶ τὰς ἐντεύξεις καὶ ὁμιλίας τῶν φίλων.

§. μδ'.

Ὥσπερ τὸ ὑπερβάλλον καὶ παρ' ἀξίαν ἐν ταῖς περιποιήσεσι, καὶ ὑποδοχαῖς τῶν προσιόντων, πολλῶν ἕνεκα παραιτητέον, μάλιστα γε μὴν ὅτι ὑβρίζειν ἐστὶ τὸ παρ' ἀξίαν, ἢ λέγεται τινὶ τῶν σοφωτέρων, τιμᾶν· οὕτως ἐκ τοὐναντίου τῆς πρὸς ἀξίαν ἑκάστῳ φιλοφροσύνης καὶ δεξιώσεως οὐκ ἀμελητέον, τήν γε περιφρονήσεως καὶ ἀλαζονείας γραφὴν φυγεῖν βουλομένῳ. Δέον οὖν τοὺς ἐν ἀξιώμασιν ἐπισήμους, καὶ τοὺς Θεῷ λειτουργεῖν ἠξιωμένους, καὶ προστασίας πεπιστευμένους λαοῦ, μὴ εἰκῇ καὶ ὡς ἔτυχε παραδέχεσθαι προσιόντας, ἀλλὰ σὺν αἰδοῖ, καὶ χάριτι ἀφαιρούμενον τὸν πῖλον βραχείᾳ τῆς κεφαλῆς κλίσει, τὴν φιλοτιμίαν δηλοῦν, χρώμενόν τε ταῖς οἰκείαις τοῖς προσώποις προσρήσεσιν, ἐφ' ὧν ἄριστον, τὰ ἤθη μανθάνειν τῆς χώρας, καὶ συνυποσκάζειν γάρ ποτε χωλῷ φιλόσοφον κρίνεται. Ἄτοπον μὲν οὖν περιμένειν ἐν ταῖς ἐντεύξεσι τὸν κρείττω προανακαλύψαι σοι τὴν κεφαλὴν, οὐ μὴν αὖ ἀνεπίληπτον ἐφ' ὧν οὐκ εἰκὸς ἀφαιρεῖσθαι τὸν πῖλον, τὸ γὰρ οὕτω τοὺς ἄγαν ὑποβεβηκότας δεξιοῦσθαι παρὰ τὸ δέον, ἐστὶ χαμερποῦς τε καὶ μικροπρεποῦς ἤθους ἔλεγχος· ἐπὶ πάντων δὲ διδάσκαλός σοι ἔστω τὸ τῆς χώρας ἔθος. Ἐν γὰρ Ὀθωμανοῖς, καὶ πᾶσιν ἁπλῶς τοῖς τὴν Ἀσίαν οἰκοῦσιν, ἀνακαλύπτειν ἐπὶ προσρήσει τὴν κεφαλὴν καταγέλαστον.

§. μέ.

§. μέ. Ἀλλὰ καὶ τὸ ὑποβλέπειν ἐν ἀσπασμοῖς καὶ προσρήσεσιν εἰ τῆς ἀξίας ἀντιπροσρήσεως ἠξίωσεν ὁ προσαγορευθεὶς, λίαν ἄτοπον· ἡμεῖς μὲν γὰρ ὀφθέντες τὸ ὀφειλόμενον τῆς προσαγορεύσεως εὐγνωμόνως ἀφοσιωσόμεθα, τὰ λοιπὰ δ᾽ ἐκείνοις μέλλειν παραλείψωμεν.

§. μς'. Εἰ δέ τις φιλοφροσύνης καὶ τιμῆς λόγῳ, τοὺς κρείττους καλύψαι κελεύει τὴν κεφαλὴν, ἁμαρτάνει τοῦ εἰκότος· καὶ ὃς ἂν οἷς δέον κελεῦσαι μὴ ἀξιώσῃ, καὶ δὴ, καὶ ὁ πρὸ τοῦ ἐπιτετράφθαι ὁ καλυπτόμενος, μάλιστα ἐν ταῖς μετὰ τῶν προὐχόντων ὁμιλίαις. Μεμπτὸν δὲ καὶ τὸ παρακούειν προτρεπόμενον, ἀνθ᾽ ὧν ἐξέσω μετὰ μίαν γέ τινα ἢ δευτέραν προτροπὴν, χρήσασθαι τῷ τῆς κεφαλῆς ἐπιβλήματι, εἰ μὴ ἡ τῆς ὥρας ἀλέα οὕτω πείθει καθεῖσθαι.

§. μζ'. Ἀποτρέπου μὲν ὡς σκαιὸν τὸ δυσέντευκτον, εὐπρόσιτος δὲ τοῖς βουλομένοις ἔσο, καὶ εὐπροσήγορον ἐπιτήδευε τρόπον.

§. μή. Καὶ περὶ καθέδραν δὲ μετρίαις, καὶ κατὰ τὸν ὑποδειχθέντα ἐν τοῖς προλαβοῦσι περὶ τῶν προσρήσεων λόγοις τρόπον, χρηστέον ταῖς δεξιώσεσι.

§. μθ'. Τοῖς γεμὴν προσιοῦσιν ὑπεξίστασο κατὰ τὴν ἀξίαν ἑκάστου· τοῖς γὰρ πολὺ προὔχουσι, καὶ προαπαντᾶν εἰκὸς φοιτῶσι, καὶ τῆς μετριότητος χάριτας εἰδέναι.

§. ν'. Ἐν ταῖς καθ᾽ ὁδὸν ὑπαντήσεσι, μετὰ τὰς ἑκάστῳ προσηκούσας προσρήσεις, ὑπείκειν ὁδοῦ τοῖς γε κρείττοσιν ἐπαινούμενον, ἢ παρὰ θύραν ἢ στενωπὸν, ἡγεῖσθαι προτρέποντα.

§. νά. Ἐν τῇ μετὰ τῶν ὁμοίων ἢ καὶ μικρὸν ὑποβεβηκότων συνελεύσει, σκαιὸν καὶ αὔθαδες προαρπάζοντα τὸν κρείττω προκαταλαμβάνειν χῶρον· εἰ

δ᾽ οἱ



δ᾽ οἱ συνιόντές σοι τῆς προεδρείας παραχωροῖεν ἑκόντες, τὸ ἀντιτείνειν αὖθις ἐπὶ πολὺ ὀχληρόν. Μετὰ ταπεινώσεως οὖν ἅμα καὶ ἀστειότητος χάριτας αὐτοῖς ὁμολογήσας, εὐπειθῆ σαυτὸν τοῖς καλοῦσι παράσχε.

§. νβ'. Εἰ δὲ τῷ ἡλικίᾳ ἢ ἀξιώματι προὔχοντι ὑπεκστῆναι δόξῃ τῷ ἥττονι τῆς καθέδρας, ὥσπερ ἄγροικον εὐθὺς προτραπέντα συγκατανεῦσαι τὸν ἥττω, οὕτως οὐδὲ ἐκεῖνον εἰκὸς ἐγκεῖσθαι προτρέποντα· ἑκάτερον γὰρ ἔξω τῶν ὅρων τοῦ εἰκότος πίπτει, καὶ ὁ μὲν ὑπὲρ τὸ δέον φιλοφροσύνης, ὁ δὲ εὐπειθείας αἰτιάματι πεφύκασιν ἔνοχοι.

§. νγ'. Τοῖς δὲ ὁμοίους ἑαυτοῖς ὑποδεχομένοις, ὑπείκειν εὔλογον ἕδρας τοῖς ἀφιγμένοις· τοὺς δ᾽ ἅπαξ, ἢ δίς ποτε κελευσθέντας μὴ ἀπαξιῶσαι τὴν προεδρείαν, οὐκ ἄνευ ὁμολογίας χαρίτων.

§. νδ'. Εἰ δέ τινες ἢ πόλεως ἀρχὴν ὦσιν ἀνεζωσμένοι, ἢ τῆς συγκλήτου βουλῆς, τούτοις παρὰ πάντων ἡ προεδρεία ὀφείλεται· κἀκεῖνοι μέντοι τὴν ὀφειλομένην πρὸς τοὺς προὔχοντας σοφίᾳ, ἢ ἡλικίᾳ, ἢ ἀξίᾳ, τιμὴν εὐγνωμόνως ἀπονεμέτωσαν.

§. νέ. Ὡς εὔγνωμον καὶ ἐπαίνου ἄξιον, ὑπείκειν λόγων, καὶ ὁμιλίας τοῖς συνοῦσι· καὶ ταῦτα εἰ τῶν ἐν τέλει καὶ ἐπιφανῶν τύχωσιν ὄντες, οἷς οὐδέποτε ἀντιλέγειν, ἢ λογομαχεῖν ἀνέχου· εἰ γὰρ καὶ ἀεὶ πλείω μὲν ἀκοῇ χρῆσθαι, μειονεκτεῖν δὲ λόγοις καλὸν, ἐν γεμὴν τῇ μεθ᾽ ὑπαρχόντων διαλέξει οὐ πάνυ τοι, ἀνάγκης ἀπῴκισαι.

§. νς'. Ξυναντήσας εἴποτε τύχοι τῷ τῆς πόλεως Ἀνθυπάτῳ, ἢ τῷ Ἀρχιερεῖ, ἢ ἄλλῳ τινὶ τῶν ἀξιώμασι κεκοσμημένων, τὴν προσήκουσαν αὐτῷ προσκύνησιν ἀποδοὺς, ἐπίσχες τὴν πορείαν, ἕως ἂν ἐκεῖνος διέλθῃ.

§. νζ΄. Τοῦ δὲ προσήκοντος ταῖς ἑκάστου ὁμιλίαις τρόπου, ἄριστος ἂν εἴη διδάσκαλος ὁ χρόνος, καὶ τὸ τοῦ τόπου ἔθος, ἥτε ἡλικία καὶ διαφορὰ τῶν προσώπων, ὧν ἑκάστῳ τὰ πρόσφορα εὐστόχως καὶ ὡς δέον γινέσθω.

§. νή. Πρὸς τοὺς πολὺ προέχοντας ἀσύμφορος βαττολογία· τί γὰρ δεῖ καταντλεῖν αὐτῶν τὰς ἀκοὰς ῥηματίοις ἄλλως ἐκπίπτουσι τοῦ στόματος, καὶ φορτικοὺς δοκεῖν, ἐνὸν νεύμασι τεκμήρασθαι, παραχεῖν ἐκείνοις τὰ τῆς γνώμης βουλήματα.

§. νθ΄. Ἀλλὰ καὶ πανταχοῦ τοὺς λόγους βασανίζω καὶ πρὸς στάθμην ἀπηκριβωμένους φάναι προφέρειν εἰκὸς, τὴν γλῶτταν εἰς νοῦν ἣ Ζήνων ἔλεγε προεμβάπτοντας· μηδ' εἰκῇ τούτους ἐᾶν περιηχεῖν τοὺς παρόντας· τί γὰρ διαφέρει λόγοις ἄλλως ἐκφερομένοις, ἢ σιέλοις τοὺς ὁμιλοῦντας περικλύζειν.

§. ξ΄. Ὡς γεμὴν τοῖς ἀγοραίοις, καὶ χειρώναξιν οὐδαμῶς ἀνήκει ὄγκῳ ῥημάτων ἀποχρῆσθαι ἐν ταῖς πρὸς τοὺς ἐπιδόξους διαλέξεσιν, οὕτω κἀκείνοις μετὰ περιποιήσεως, καὶ προσηνοῦς ἤθους αὐτοὺς προσιόντας εἰκὸς ἀσπάζεσθαι, ἀλλὰ μὴ μετὰ σεμνότητος, καὶ ἀναγωγῆς τῶν ὀφρύων αὐτοῖς ὁμιλεῖν.

§. ξα΄. Ἐν ταῖς μετὰ τῶν ἐνδόξων ὁμιλίαις ζητεῖν ἐρείσματα τῷ σώματι οὐκ εὐπρεπὲς, ἀλλ' οὐδὲ τοὺς ὀφθαλμοὺς ὅλως αὐτῶν ἐρεισέον τῷ σώματι· ἀρκεῖ γὰρ ὠσὶ τοὺς λόγους παραδέχεσθαι, ὀφθαλμῶν δὲ τί δεῖ;

§. ξβ΄. Πρὸς νοσοῦντα ἐπισκεψόμενος εἰσιὼν, μὴ τὰ τῶν ἰατρῶν ὑποκρίνου. πλάττεσθαι γὰρ ἅπερ οὐκ οἶδας, ὡς καταγέλαστον.

§. ξγ΄. Καὶ μηδενὸς μὲν ἀπίτω σοῦ τῶν ἔργων ἡ προσοχὴ, καὶ ἡ μετ' ἀκριβοῦς σκέψεως οἰκονομία.

Οὐ-



Οὐδενὸς δὲ μεῖον περὶ τὰς εἰς ἀλλοδαπὴν πεμφθησομένας δέλτους τῇ προσοχῇ χρώμενος ἔσο, καὶ πρὶν ἢ τὴν σφραγίδα ἐπιθέσθαι ἐπίσκεψαι εἴτι ἐν παραδρομῇ ἡμαρτημένον ἐστὶν, εἴτι μὴ καλῶς μηδὲ ᾗ δέον ἐγκεχάρακται τῇ ῥύμῃ τοῦ γράφειν διαφυγόν· πολλάκις γὰρ αἱ δεύτεραι σκέψεις μεταμέλον ἐπισπῶνται τῶν προγεγραμμένων· διὸ καλῶς εἰρημένον ἐστὶ τῷ Ποιητῇ ἐπὶ ἦμαρ συμμεταφέρεσθαι τὸν τῶν ἐπιχθονίων νόον· πολλάκις γὰρ ἃ πρὸ μικροῦ δι' εὐφηκακίζειν προήχθημεν νῷ, μου μνήμης ἄγοντες ἐντυγχάνομεν. Ἄλλως τε ὥσπερ ἡ ὄψις τῇ λαμπρότητι τοῦ χρώματος συναρπαζομένη, εὐθὺς ἐπιλαβέσθαι τοῦ ἐνιζηκότος τῷ ἱματίῳ σπίλου ἀδυνατεῖ, χρόνῳ δὲ ὡσπερεὶ πλήσμιος τῆς λαμπρότητος γενομένη, καὶ τὰ ἐλαττώματα ἐπιτρέχει καὶ διορᾷ· οὕτω καὶ ἐπὶ τῶν γραφομένων, ἃ τὴν πρώτην διαφεύγει τὸν νοῦν, ἐν ταῖς δευτέραις ἀναθεωρήσεσιν ἁλίσκεται, καὶ κατάφορα γινόμενα διορθώσεως ἀξιοῦται· ὅσα δὲ ἡ ἐπάρατος ὄκνησις ἀνακρίνειν οὐ συγχωρήσει, πολλὰς αἰτιαμάτων παρέχεται λαβὰς, τοῖς ὡς ἔπος ἐξονυχίζειν τὰ τῶν ἄλλων φιλοῦσι.

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

### Τὰ περὶ τὰς παραινέσεις καὶ ἐλέγχους.

§. ξδ΄.

Τὰς κατὰ δύναμιν ἑκάστου ὑπουργίας κἂν μὴ καταθύμιόν σοι ἐκβαίνῃ, σὺν εὐγνωμοσύνῃ προσδέχου, μηδὲ διαμέμφου· οὐ γὰρ μομφῆς, ἀλλὰ μᾶλ-

λον ἐπαίνων ἐστὶν ἄξιος ὁ τόγε εἰς δύναμιν αὐτῷ ἧκον προσενέγκασθαι μὴ κατοκνήσας.

§. ξέ. Ἐν ταῖς παραινέσεσι σκεπτέον πρῶτον, ὅπως χρὴ διατίθεσθαι ταύτην, ταμιεύσασθαί τε εἰς τὸν πρόσφορον χρόνον, καὶ τόπον τὸν ἐπικαιρότατον προσλαβεῖν συνεργόν· ἥκιστα γὰρ συμφέρει παρόντων φίλων, ἢ γαμετῆς, ἢ παίδων, ἢ ἐν θεάτρῳ, ἢ ἐν καιρῷ γέλωτος, καὶ θοίνης ἐπιτιμᾶν, καὶ καθάπτεσθαι· οὐ μόνον γὰρ ἐκπίπτειν τὰ τοιαῦτα παρασκευάζει τοῦ τέλους, ἀπαράδεκτον ὅλως καθιστῶντα τὴν νουθεσίαν, ἀλλὰ καὶ εἰς ὀργὴν ἐρεθίζει, καὶ μίσους γίνεται πρόξενα.

§. ξς'. Καὶ τῷ προσώπῳ δὲ καταλλήλως χρηστέον τῷ τῆς παραινέσεως τρόπῳ, ὥσγε πρὸς τὰ ἕλκη οἱ ἰατροὶ τὰ φάρμακα ἐπιτίθενται· οὔτε γὰρ τοῖς ἀναγώγοις καὶ δυσηνίοις ἁρμόζει λόγος μαλακός, καὶ μειλίχιος· εἴη γὰρ ἂν οὕτω ἀπόγκω πάτταλον κρούειν τὸ τῆς παροιμίας· οὔτε τοῖς εὐπειθέσι καὶ πρὸς τὰ βελτίω εὐπαρακλήτοις, οἰκεῖον λόγος τραχὺς καὶ δηκτικός, οὐ μᾶλλον ἢ ὄψεσιν ἀδρανέσιν ἀντωπεῖν Ἡλίῳ· εἰδὲ καὶ δηκτικῶν ποτε δεήσοι λόγων, τὸ παράδειγμα ἀπὸ τῶν ἰατρῶν ληπτέον, οἳ τὰ δρυμαῖα τῶν φαρμάκων τῇ τοῦ μέλιτος μίξει καταγοητεύσαντες προσδιδόασι.

§. ξζ'. Πρὸ πάντων δὲ κοινὸν ἔστω τοῖς νουθετοῦσι παράγγελμα, ἐξοικίζειν τῆς ψυχῆς τὸν θυμὸν παραινεῖν μέλλοντας, μηδὲ λόγοις μετὰ κραυγῆς καὶ ἰταμότητος χρῆσθαι· ταῦτα γὰρ δυσεπιχείρητον ὅλως ἀποφαίνει τὸν νουθετούμενον.

§. ξή. Ταῦτα μὲν οὖν παραινεῖν μέλλοντες φυλαξόμεθα. Εἰδὲ παρ' ἄλλων πρὸς ἡμᾶς ἡ παραίνεσις, ὑπήποτ' ἂν ἔχῃ ἡδέως ἀποδεξάμενοι, καὶ χάριτας ἐπιμετρήσωμεν, μηδὲν τῷ παρ' ὥραν, ἢ παρὰ τόπον





δυσχεραίνοντες· τὸ γὰρ καλὸν οὐκ ἔσθ' ὅτ' οὐ καλόν.

§. ξθ'. Εἰ δὲ σαυτῷ σύνοιδας ἀναιτίῳ ὄντι τῶν ἐγκλημάτων, ὑπὲρ ὧν ἀπήντησεν ἡ παραίνεσις, καί σε θυμὸς ἐν στήθεσι πρὸς ἀπολογίαν ὀτρύνει, πειράσθω σοι μετὰ πολλῆς προσοχῆς τῆς ὥρας τὸ καίριον, καὶ κομψῶς ἅμα τὰ τῆς ἀπολογίας γινέσθω, μᾶλλον πρὸς εὐχαριστίαν ἢ μεμψιμοιρίαν βλέποντα, μάλιστα εἰ πρὸς Δεσπότην μέλλεις τοὺς λόγους ποιεῖσθαι.

§. ό. Μηδενὸς οὐδέποτε φυσικῷ τινι ἐλαττώματι, ἢ πηρώματι ἐπιγελάσῃς· ὅλως τε ἀπέχου λόγων τε καὶ ἔργων, δι' ὧν αἰδεῖσθαι καὶ ἐρυθριᾶν μέλλει, ὑπὲρ οὗ ταῦτα λέγεται.

§. οά. Ἀστεϊζόμενος δὲ, μὴ κυνηδὸν δάκνε, καθαπτόμενος τῶν συνόντων, μετὰ δὲ σεμνότητος καὶ γλαφυρότητος αἱ εὐτραπελίαι γινέσθωσαν. Μηδενὶ ἐπαχθὴς, μηδὲ δηκτικὸς, τὰ γὰρ τοιαῦτα ἐπὶ διαχύσει καὶ γέλωτι μεθοδεύεται· εἰδὲ σαυτῷ γέλωτα τὸν φίλον λυπῶν πραγματεύῃ, οὐκ ἔτι φιλίας ὅρον διασώζεις, ἣν κοινότης πάντων χαρακτηρίζει, ἀλλ' ἐς πλεονεκτικὸν τρόπον ἐξοκείλας, μέμψεις ὀφλισκάνεις πρὸς τῷ φθόνῳ καὶ χαιρεκακίας.

§. οβ'. Κἀκεῖνο δὲ πρὸς τοὺς ἐν πᾶσι φροντίζοντας τοῦ σεμνοῦ, παράγγελμα τῶν ἀναγκαιοτάτων ἐστὶ, μὴ χαίρειν τοῖς αἰσχροῖς τῶν λόγων, ἅπερ οἱ βωμολόχοι γέλωτα ἐγείρειν βουλόμενοι ἐπιτηδεύουσιν· οὔτε ἐν ἔργοις ἀσχημονεῖν, χρῆσθαι δὲ τοῖς χαριεντισμοῖς, καὶ τοῖς ἀστεΐσμασιν ὡς οἷόν τε κοσμιώτερον, καὶ σὺν ἀγχινοίᾳ καὶ ἡδύτητι μετὰ σεμνότητος ἐκκαλεῖσθαι τὸν γέλωτα· κηλήσας δὲ τοὺς συμπαρακειμένους καὶ γελᾶν παρασκευάσας, ἐπέχε σὺ ὡς οἷόν τε τὸν σαυτοῦ γέλωτα, ὡς μὴ αὐτὸς σαυτὸν αὐλεῖν δοκῇς, τὸ τῆς παροιμίας.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

### Περὶ τῆς ἀμφὶ τὴν ἀναβολὴν κοσμιότητος.

§. ογ'.

Κοσμεῖσθαι μὲν ἀνδράσιν οὐκ ἀπηγόρευται τὸν μέτριον καὶ ἐπαινούμενον κόσμον· οὐ μέν τοι διαφεύγει τὴν μέμψιν, εἴτις καλλωπιστὴς ἐστὶ πέρα τοῦ μετρίου, καὶ περίεργος ἐν ἀμφίοις, ἐν κόμῃ, καὶ ὑπήνῃ. Χρὴ οὖν τὸ μέσον ἐν πᾶσι φυλάττειν, τὸν μήτε δι' ἀτημέλειαν βδελυκτὸν εἶναι καὶ ἀποτρόπαιον, μήτε διὰ τὴν ἄγαν θρύψιν κακῶς ἀκούειν βουλόμενον.

§. οδ'. Ὁ πῖλος μήτε καλυπτέτω τοὺς ὀφθαλμοὺς, μήτε ὑπεραιρείσθω ἐπ' ἄκρας τῆς κορυφῆς σαλεύων, ἑκάτερον γὰρ ἐπίμωμον, ἀλλὰ τὴν μέσην ἐχέτω καὶ συνήθη θέσιν, μήτε ἐπὶ θάτερον τῶν ὤμων παρακλινόμενος, καθάπερ ναυτίλοις καὶ στρατιώταις ἐθίζεται.

§. οε'. Λύειν τε ἐν ὀφθαλμοῖς ἄλλων τὸν ζωστῆρα, ἢ συνάγειν οὐ δεῖ, ὁμοίως καὶ τοὺς τῆς ἀναξυρίδος ἀποδέσμους, ἀλλ' οὐδὲ τὰς πτέρυγας αὐτῶν προφαίνειν εὔσχημον, ὅπως ὁρῶτο τὰ ποικίλματα. Αἰσχρὸν δὲ καὶ τὸ παρασκευάζεσθαι ὡς πρὸς εὐμάρειαν, μετ' ἄφοδον δὲ, εἰ τινὸς ἅψασθαι τῶν ἐδωδίμων μέλλεις, μήποτε ἀνίπτους ἐπίβαλλε χεῖρας, καὶ τοῦτο δὲ ὡς οἷόν τε λαθὼν τοὺς παρόντας ποίει.

§. ος'. Εὔθετον ἐστὶ πρός τε καθαρότητα καὶ ὑγιείαν σώματος, ἅμ' Ἕω ἀναστάντα τῆς κλίνης, τὰς χεῖρας καὶ τὸ πρόσωπον ὕδατι νίπτειν, οὐ μὴν περιέργως καὶ διὰ πολλοῦ, ἑταιρικὸν γάρ.

§. οζ'.

SISMANOGLIO



§. οζ'. Καὶ ἡ τῶν ἀμφίων ἐπιμέλεια τοῖς ἀναγκαίοις καταριθμεῖται, διὸ κἀκείνων ἐπιμελητέον, μὴ ῥύπων εἴη καὶ κόνεως πλέω, μηδὲ ἐῤῥωγότα. Ἅπαξ γοῦν τῆς ἡμέρας μελέτω σοι σαροῦν αὐτὰ, καὶ καθαίρειν ἱματικῷ σαρώθρῳ. Καθέζεσθαι δὲ μέλλων, ὅρα ὅπως ἔχει καθαρότητος ὁ τῆς καθέδρας τόπος· τὸ γὰρ ἀπεριέργως καθέζεσθαι τοῖς προσυχοῦσιν ἠλίθιον.

§ οη'. Μηδέποτε τῶν ὤμων τὸ περίβλημα ἐξαρτήσῃς, ἀλλ' ἀεὶ τοῖς χειριδωτοῖς ὡς ἡ κατασκευὴ πείθει σαυτὸν περίστελλε.

§. οθ'. Περὶ δὲ τὰ ἄμφια μιμεῖσθαι δεῖ τοὺς ἐπισήμους, καὶ ἐνδόξους, μᾶλλον δὲ τοὺς ὁμοίους· τοὺς γὰρ τοῦ αὐτοῦ ἐπαγγέλματος, ταὐτὰ δεῖ καὶ ἀμπέχεσθαι, ἵνα μὴ ὡς ἐν θεάτρῳ ἄλλοι ὄντες, ἄλλοι φαίνονται.

§. π'. Ἄλλα δ' ἄλλου ἐπαγγέλματος ἀπαιτοῦντος, καὶ βίου, τὰ κατάλληλα τούτοις ἀμφιέννυσθαι πρέπον, τοὺς σεμνότητος μᾶλλον ἢ πολυτελείας φροντίζοντας.

## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

### Περὶ τῆς ἐν περιπάτοις εὐταξίας.

§ πα'.

Τριῶν ὄντων τῶν περιπάτου εἰδῶν, τὸ μὲν ἄγαν σχολαῖον, καὶ τὸ αὖ ἠπειγμένον τε καὶ σπουδαῖον παραιτοῦ· τὸ μὲν γὰρ μαινομένων, ἐξηρτημένης τῆς κατὰ χρείαν ἐπείξεως· τὸ δὲ τῶν βρενθυομένων, καὶ ὑπερόγκων· ἀσπάζου δὲ τὸ μέσον, τὸ παρ' ἑκάτερα φεῦγον ἁμάρτημα.

§. πβ'. Καὶ τὰς χεῖρας δὲ μὴ ὥσπερεὶ παρειμένας ἐπισυρόμενος ἔσο, μηδὲ ἐφ' ἑκάτερα ἀτάκτως κίνει. Καὶ τὸ περιβλέπειν ἐν κύκλῳ, καὶ περίεργον ὄμμα ταῖς πρὸς ὁδὸν ἐπιβάλλειν θυρίσι φεῦγε. Μηδὲ πρὸς τὰ περιβόλαια ὁδῷ βαδίζων ἐξασχόλει τούς τε ὀφθαλμοὺς καὶ τὰς χεῖρας· μηδὲ τὰ πέδιλα θαμινῶς ἐκ διαλειμμάτων ἐπισκόπει, εἰ πρὸς τὸν πόδα ἐνήρμοσται, μηδὲ τὰ λοιπὰ τῶν ἐνδυμάτων περιθεῶ, ὀψιπλούτοις γὰρ τοῦτο φίλον, οὓς ἀντὶ τῶν πρὶν πιναρῶν, λαμπρὰν καὶ πολυτελῆ μεταμφιέσας ὁ δαίμων σκευὴν, εἰς ἀπιστίαν ὑπὸ τοῦ λίαν θαυμάζειν περιάγει. Διὰ δὴ ταῦτα περιβλέπουσιν ἑαυτοὺς ἐξιστάμενοι ἐπὶ τῇ μεταβολῇ, καὶ δὴ καὶ τοῖς πολλοῖς εἰ περιβλέποιντο ζηλούμενοι γνῶναι ποθοῦντες. Δεῖ οὖν τὸν σωφρονοῦντα ἐκείνοις τοῦτο παραλιπεῖν, ὡς τοῖς εὖ γεγονέναι φάσκουσιν ὅλως ἀνοίκειον.

§. πγ'. Μηδέποτε οἴκου ἢ φροντιστηρίου τὴν γραφίδα τῷ κροτάφῳ ἔξιθι περιπείρας, φαντιᾷν γὰρ δόξεις.

§. πδ'. Τό, τε ἄνθεσι καὶ ῥόδοις τὴν κεφαλὴν στέφειν, τοῖς ἐκδεδιῃτημένοις τῶν νέων παραχωρητέον.

§. πε'. Οὐκ εὐπρεπὲς κατέχειν ἀεὶ ἐν χειρὶ τὸ ῥινόμακτρον· ἔχε δὲ αὐτὸ ἀεὶ ὑπὸ κόλπον μὴ προφαίνων αὐτοῦ τὰ ποικίλματα, ἢ φίλον τοῖς Γανυμίδους ζηλωταῖς· εἰδὲ πιναρὸν εἴη, μὴ προϊέτω τοῦ κόλπου, ἀλλά σοι τὴν χρείαν ὡς ἔνεστι πόῤῥω τῆς τῶν πολλῶν ὄψεως τελείτω.

§. πς'. Οὐδὲν οὐδέποτε τῷ στόματι ἐπ' ἐδωδῇ καθ' ὁδὸν προσενέγκῃς μόνος τε ὢν καὶ σὺν ἄλλοις·

καὶ



καὶ ἐν οἴκῳ δὲ τὸ παρ' ὥραν σιτεῖσθαι βλάπτει, μάλιστα δὲ τοῦτο φυλάξῃ ἐπὶ παρουσίᾳ φίλων.

§. πζ'. Μήτ' ᾄδε ἐν ὁδοῖς, μήτε μειδιάματι χρῶ, μήτε ὑποτονθορύζων διάνυε τὴν πορείαν· οὐ γὰρ σωφρονούντων ταῦτα.

§. πη'. Μηδὲν ἐπίτηδες τῶν ἐπὶ τῆς ὁδοῦ κινήσῃς, λίθον φημὶ, ἤ τι τῶν τοιούτων, μηδ' ὥσπερεὶ λακτίζων τὴν ὁδὸν περιέρχου· μανικὰ γὰρ ταῦτα.

§. πθ'. Τὴν κατὰ φύσιν ἐχέτω θέσιν πανταχοῦ ἡ κεφαλὴ, μήδ' ἐπὶ θάτερα ἀπονεύουσα.

§. ϙ'. Τὸ πρόσωπον ἐν τῇ φιλοσόφῳ συννοίᾳ τηρείσθω, τὸ ἄγαν ἔκθαμβον καὶ περιπεφροντικὸν διαφεῦγον.

§. ϙα'. Τοῖς ἐντίμοις καὶ κατ' ἀρετὴν γνωρίμοις ὁμίλει, φεῦγε δὲ κατὰ σθένος τὰς τῶν πονηρῶν καὶ διαβεβλημένων συνδιαιτήσεις, εἰμὴ βούλει τοιοῦτος ὑποληφθῆναι, οἷοις ἂν συνὼν φαίνῃ.

§. ϙβ'. Ἐν ὁδῷ ὁμοίοις, ἢ καί τι προβεβηκόσι περιτυχόντα, αὐτοῖς ὑπείκειν εὐπρεπὲς ὁδοῦ, ὑστεροῦντα βραχύ τι, οὐ μὴν ὥστε κατακλᾶν αὐτοὺς τὸν τράχηλον πρὸς σὲ διαλεξομένους· τοῖς δὲ ὁμοίοις καὶ συμβαδίζειν ἐκ τοῦ ἴσου οὐδὲν ἄτοπον.

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

### Ἡ Περὶ τὰς συντυχίας εὐταξία.

§. ϙγ'.

Μήτε ἐν ταῖς μετὰ πεπαιδευμένων καὶ σοφῶν διατριβαῖς, χαμερπέσι καὶ δημώδεσι χρῶ λόγοις, μήτε παιδείας ἀγεύστοις συνὼν, ὑψηλὰ καὶ δυσξύ-

νετα

νετα φθέγγου, μᾶλλον δὲ φεῦγε, ὅσα οὐ ῥάδιά ἐστιν ἐς πειθώ, ἑκάτερον γὰρ ἀγνοοῦντος τὸ δέον ἐστίν. Ὁμοίως καὶ τὸ ἐν συμποσίῳ καὶ εὐθυμίαις τραπέζης, τὰ λυπηρὰ προσφέρειν, καὶ ὅσα τοῖς ἐπὶ διαχύσει ψυχῆς, καὶ τέρψει συνιοῦσιν ἀποτρόπαια κρίνεται· εἰδ᾽ ἄλλος τις τῶν συνόντων τοὺς μὴ πρὸς καιρὸν ἐμβάλλοι λόγους, ἀγχινοίας ἐστὶ, καὶ ψυχῆς εὐγνώμονος παρατρέψαι τούτους τὰ γηθόσυνα ἀντεισάγοντα.

§. ϙδʹ. Ὀνείροις οὔτε προσεκτέον, οὔτε μὴν τισιν κοινωνητέον· εἰδ᾽ ἄττα ᾖγ᾽ ἀφ᾽ ὧν ἐλπίζειν παρίσταται τὰ χρηστότερα, τοῖς γνησιωτέροις πιστευέσθω τῶν φίλων.

§. ϙεʹ. Οἷον δὲ φορτικὸν διεξιέναι τὰς ἑαυτοῦ ἀρετὰς, καὶ τοὺς συνόντας περιηχεῖν τὴν λαμπρότητα τῶν προγόνων, ἢ τὴν ἑαυτοῦ ἀγχίνοιαν καὶ σοφίαν ὑπὸ μάρτυσι τοῖς παροῦσι κομπάζοντα. Μήτε οὖν ἐπαίνει σαυτὸν, ὥσπερ ὁ Ἀστυδάμας, μήτε αὖθις ἐπὶ ψόγῳ σαυτοῦ μέμνησο· ἑκάτερον γὰρ ἐπίμωμον.

§. ϙϛʹ. Δυστυχοῦντι μὴ ἐφήδου, μηδ᾽ ἕνα ἐφ᾽ ὕβρει προσείπῃς, μηδ᾽ εἰρωνευόμενος, ἀλλ᾽ ἐπιεικῶς πᾶσι καὶ ἡδέως προσφέρου.

§. ϙζʹ. Εὐπροσήγορος ἔσο, ἐν συνελεύσει πολλῶν μὴ σκυθρώπαζε.

§. ϙηʹ. Μηδενὸς μετὰ σκωμμάτων μνημονεύσῃς· μέτριοι ἔστων οἱ ὑπέρ τινων ἔπαινοι. Μηδ᾽ ἀφειδῶς καὶ μεθ᾽ ὑπερβολῆς, ἵνα μὴ διὰ τὰς ὑπερβολὰς ἀπιστοῖτο, καὶ τὰ ἀληθῶς σοι λεγόμενα.

§. ϙθʹ. Ἐριζόντων τινῶν περί του, περίεργον ἐστὶ χωρὶς αἰτίας θατέρῳ προστίθεσθαι.

§. ρʹ. Μηδέποτε περὶ μηδενὸς διατείνου, οὗ μὴ σαφῆ γνῶσιν, ἀλλὰ δόξαν ἔχεις.





§. ραʹ. Τῇ τῶν πλειόνων ψήφῳ ἀεὶ σαυτὸν προστίθει.

§. ρβʹ. Φιλαδελφίας μὲν ἐπαίνους πορίζει τὸ ἀνιᾶσθαι ἐπὶ τοῖς τῶν ἀδελφῶν ἁμαρτήμασιν, οὐ μὴν προσήκει δικαστὰς ἑαυτοὺς ἀκλήτους καθίζειν τοῖς παρὰ πάντων πλημμελουμένοις· παραχωρεῖν δὲ δεῖ, καὶ πατράσι, καὶ διδασκάλοις, καὶ ἄρχουσι τὴν αὐτῶν ἔρευναν· ἀνιωμένῳ δέ γε ἐπ᾽ αὐτοῖς ἐοικὼς, ἀστείως ἅμα καὶ λεληθότως, τοὺς περὶ διορθώσεως πρόσφερε λόγους, ἧπερ ἂν αὐτὸς οἷός τε ᾖς μισθοὺς εὐβουλίας παρὰ Θεοῦ ἐκδεχόμενος.

§. ργʹ. Πηρώμασι καὶ ἐλαττώμασι τοῖς εἴθ᾽ ὑπὸ φύσεως ἢ ἄλλης αἰτίας ἐν ὁποιῳοῦν μέρει, μηδὲ ποτε περίεργον ὀφθαλμὸν ἐπιβάλλῃς, μηδὲ πυνθάνου αἰτίαν, καὶ χρόνον, ἀφ᾽ οὗ, καὶ δι᾽ ἣν, ταῦτα προσγέγονε. Καὶ διαλέκτους ἀποδοκίμαζε, ἃς οὐκ ἀκριβῶς ἐπιστάμενος ᾖς, εἰμὴ ποτέ σοι ἀνάγκη κατεπείγουσα ἐπιστῇ, καὶ πρὸς ἀλλογλώσσους ποιεῖσθαι μέλλεις τοὺς λόγους, ἀξυνέτους τῆς συντρόφου σοι φωνῆς· ἀεὶ δὲ χρῶ τῇ συνήθει, καὶ καθωμιλημένῃ σοι, οὐ μὴν προφέρων κατὰ τὸν χύδην καὶ ἀνδραποδώδη λεὼν, ἀλλὰ κατὰ τὴν χρῆσιν τῶν σοφωτέρων, καὶ εὐπατριδῶν μετ᾽ ὀρθότητος, ὡς οἷόν τε καὶ εὐφραδείας, βραχέα μὲν λαλῶν, ἀλλ᾽ ὡς ἔνεστι κόσμιά τε, καὶ ἐμμελῆ, ἡδύλογός τε ὢν τὸ τοῦ Ἀντιφῶντος, καὶ μετριολόγος, τὰ δὲ αἰσχρὰ καὶ ἀηδῆ ἀνδραπώδεσι παραχώρει. Ὅ,τι δ᾽ ἂν μέλλῃς λέγειν, προβασανίσας κατὰ νοῦν οὕτω πρόσφερε, μηδὲ φευγέτω τὸ τῶν ὀδόντων ἕρκος πᾶν τὸ ἐπελθόν· πολλὰ γὰρ ἐστὶν ἀταμιεύτου γλώττης τὰ ἐπιτίμια.

§. ρδʹ. Ἐν ταῖς τῶν ἀπαιδεύτων ὁμιλίαις ἀπέστω τὰ σοφίσματα, καὶ προβλήματα, καὶ αἱ τῶν λό-

γων πλεκτάναι· μήτ' ἄγαν ἐπίτροχα φθέγγου, ὡς τὴν γλῶσσαν προφθάνειν τὸν νοῦν· τὰ γὰρ τοιαῦτα, κατὰ τὸν Πλάτωνα, ἄλογα καὶ ἀδιανόητα· μήτε βραδέα, καὶ ὅ φασι μεμελισμένα, ὡς τοὺς ἀκούοντας πρὸς τὴν σχολαίαν τῶν λόγων ἐκφορὰν ἀποδυσπετεῖν.

§. ρε΄. Ἐν δὲ ταῖς ἀκροάσεσιν ἄλλων λεγόντων, μηδέν ποτε πράξῃς, δι' οὗ τοὺς συνακροωμένους ἀφελκύσεις τοῦ προσέχειν τῷ λέγοντι.

§. ρϛ΄. Εἰδέ τις ἐν λόγῳ μικρὸν διαλείπει χρόνον, ἀναπνοῆς ἢ ἄλλου τινὸς ἕνεκα, μηδαμῶς τὴν τοῦ λόγου συνέχειαν προαρπάσῃς, ἀλλὰ παρ' ἐκείνου αὐτοῦ τὸ πέρας ἐκδέχου τῶν λόγων, εἰμή ποτ' ἀπειπών, ὁ λέγων ἑκών σε προτρέψηται, μήτε μέσην διακόπτων τὴν ῥύμην τοῦ λόγου καὶ συνέχειαν ἐρωτήσεσι χρῶ· παυσαμένου γὰρ ἔξεστιν ὅ, τι βούλοιο λέγειν.

§. ρζ΄. Ἐν διαλέξει τινὶ ἐπεισελθὼν μὴ πυνθάνου περὶ τίνος ὁ λόγος, τοῦτο γὰρ δεσπόταις προσήκει· ἀλλὰ μᾶλλον ἡδέως ἔχεσθαι τῆς ἀκολουθίας ἐπίτρεψον, μάλιστ' εἴγε ἐπὶ τῇ σῇ παρουσίᾳ αἴσθοιο τὴν ἐπίσχεσιν γεγονυῖαν τοῦ λόγου.

§. ρη΄. Εἰ δέ σοι λέγοντι τῶν κρειττόνων τὶς ἐπιστῇ, σοφίας ἐστὶν ἐν συνδρομῇ τὸν προανυθέντα λόγον ἐπιδραμόντα, τὰ ἑξῆς ἀποδοῦναι τῷ προκειμένῳ.

§. ρθ΄. Καταγέλαστον δὲ καὶ τὸ ἐπὶ τρανωτέρᾳ δῆθεν ἑρμηνείᾳ τῶν λεγομένων, ὑπὲρ τὸ δέον χειρονομίᾳ χρῆσθαι, διαστροφῇ τε ὀφθαλμῶν καὶ τοῦ ἄλλου σώματος ὑποκρίσει.

§. ρι΄. Ἄτοπον δὲ καὶ τὸ φθεγγόμενον συνημμένας ἔχειν τὰς χεῖρας, πεπλεγμένων πρὸς ἀλ-

λή-



λήλους τῶν δακτύλων, ἢ περιάγειν εἰς τοὐπίσω· τὰ γὰρ τοιαῦτα τῶν σχημάτων ἐξουσίαν τινὰ παρεμφαίνοντα τοῖς τυχοῦσιν οὐ πρέπει· συνεζεύχθων δέ σοι κατὰ τὸν ὀμφαλὸν αἱ χεῖρες ἐν λόγοις· τὸ γὰρ τοιοῦτον ὑποβεβηκόσι πρὸς ὑπερέχοντας οἰκειότατον σχῆμα.

§. ρια΄. Ἀπειρίας ἐστὶ πολλῆς καὶ τὸ ἐν διαλέξει τοῖς ὀδοῦσι κατέχοντα τὸν πῖλον, ἢ μαστίχην διαμασσώμενον, ἀσαφεῖ καὶ δυσηκόους προϊέναι τοὺς λόγους. Ἀντιπεριάγειν τε θατέρῳ τῶν ποδῶν ἐρηρεισμένῳ κατ' εὐθεῖαν τῇ γῇ τὸν ἕτερον, περιφρονήσεως ἐστὶ σημεῖον πρὸς τοὺς συνόντας, λαμπρᾶς βλακείας καὶ ἀφελείας· καὶ τὸ δακτυλοδεικτεῖν δὲ τὸν ὑπὲρ οὗ ὁ λόγος ἐν τοῖς μάλιστα φεῦγε.

§. ριβ΄. Εἰδέ ποτε τινῶν κοινολογουμένων, ἰδίᾳ προσλαλῆσαι ἐκείνων τινὶ δεήσοι, οὐκ ἔγκαιρον μακρηγορεῖν, ἀλλ' εἴπερ ποτε ἐν τῷ τοιούτῳ τὴν τοῦ λόγου συντομίαν ἀσμενιστέον· εἰδὲ τὸ παρὰ τοῦ καιροῦ ἢ τοῦ τόπου κωλύοι, ἰδίᾳ καλέσας κοίνωσαι τὸ ἀπόρρητον· ἢν δὲ τῶν κοινῶν ᾖ τι, καὶ δημοσίων, μηδ' ἐν ἀπορρήτοις τηρεῖσθαι ἀξίων, τῇ καθωμιλημένῃ, καὶ ἐν χρήσει πρόσφερε διαλέκτῳ. Ἄτοπον γὰρ ἐν συνελεύσει πολλῶν, ἰδίᾳ τινὶ πρὸς τὸ οὖς, ἢ διαλέκτῳ ξένῃ διαλέγεσθαι· εὐλογώτερον δέ, ἢν μή τι κατεπεῖγον ᾖ, εἰς ἄλλον ταμιεύσασθαι χρόνον, ἐκτὸς εἰμή τις τῶν κρατούντων εἴη.

§. ριγ΄. Ἀποτυγχάνειν μελετῶντος παρ' ὥραν ἐστὶν ἐντυχεῖν τινὶ ἀξιοῦν, ἢ περί τινος τῶν μὴ πάνυ σπουδαίων λέγειν, ἀλλὰ καὶ ὄχλησιν παρέχει οὐκ εὔφρονα.

§. ριδ΄. Ἐπαινουμένου τινὸς ἐπ' ἀρετῇ λόγων ἢ πράξεων, ἀπαγόρευε τὰς συγκρίσεις ὡς θ' ἕ-

τερον

SISMANOGLIO MEGARO

τερον τινὰ πρὸ ἐκείνου τιθέναι· φορτικὸν γὰρ ἡ σύγκρισις.

§. ριέ. Διηγούμενος δὲ, ἃ παρ' ἄλλου ἀκοῇ παρεδέξω, μὴ καὶ τὸν εἰρηκότα κατείπῃς, εἰμήτοιγε ἡσθῆναι ἐκεῖνον πυθόμενον πεπεισμένος ᾖς.

§. ρις'. Τὰ τῶν φίλων μυστήρια μετὰ πολλῆς σοι ταμιευέσθω προσοχῆς, ὥσπερ ἐνθαπτόμενά σου τῷ στήθει. Τοῦ γὰρ στέγειν καὶ κατακρύπτειν τὰ μυστήρια, οὐκ ἔστιν ὅ,τι ἂν φαίη νοῦν ἔχων τιμαλφέστερον, καὶ τοὐναντίου, οὐδὲν τοῦ τὰ κρύφια ἐκλαλεῖν, καὶ ἔκπυστα τιθέναι τὰ πιστευθέντα μιαρώτερον ἂν εἴη.

§. ριζ'. Ἀηδὲς ὅτι μάλιστα δοκεῖ, μακροὺς περὶ μικρῶν τείνοντα τοὺς λόγους ἐνοχλεῖν τοῖς ἀκούουσι· καὶ οἷς δ' ἄντις ἀηδῶς ἔχοντας αἴσθοιτο τοὺς ἀκούοντας, καλὸν τῶν τοιούτων ἐν βραχέσι καταλῦσαι τὴν διήγησιν ἢ ἀνάγνωσιν.

§. ριή. Σταθερότητος τῆς κατὰ γνώμην ἐστὶν ἀπόδειξις, ἀνυπερθέτως τὸ ἐπηγγελμένον ἀποδιδόναι, ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν πληροῦντα, ἅμα τε γὰρ ἐπηγγέλθη καὶ εἰς ὀφειλὴν περιέστη.

§. ριθ'. Λαλοῦντος τινὸς τῶν ὑπερκειμένων, καὶ ἐν ἀξίαις, μήτ' ἐπιγέλα, μήθ' ὑποφθέγγου, μήτ' ἄλλο τι τῶν τοιούτων πράττε, ἀλλὰ πρὶν ἐρωτηθῆναι μὴ διαλαλεῖν σοι ὅλως ἐξέστω.

§. ρκ'. Ἐν ταῖς τῶν λόγων ἔρισι καὶ διαλέξεσι, καὶ πάντα κρατεῖν βούλου, ὡς μηδὲ διεξιέναι τοῖς συνδιαλεγομένοις τὸ ἐκείνοις δοκοῦν ἐπιτρέπειν· τοῖς δὲ ὑπὲρ τὸ δέον ἐριστικοῖς, καὶ ἑκὼν ὑπείκειν αἱροῦ, εἰδὼς ὅτι καὶ τὸ ἡττᾶσθαί ποτε, ἐν τοῖς συμφέρουσιν ἀριθμεῖται.

§. ρκά. Εἴτις σου λόγοις τισὶν, ἢ σκώμμασι καθάπτηται, ἀποδοκίμαζε τὸ μετ' ὀργῆς ἀπαντᾶν, ἀλλ'



ἀλλ' εὐτραπελίας λόγῳ τὸ ῥηθὲν ἐκδεξάμενος, μηδόλως καθάψασθαί σου τοῦτον ὑποκρίθητι, κἂν ὅτι πλεῖστοι πρὸς τὸ ἀντοργίζεσθαι ἐρεθίζωσι, μεμνημένος τὸ τοῦ Σωκράτους, ὃς ἔφη πρὸς τοὺς ἀμύνασθαι τὸν λοιδορήσαντα πείθοντας, τί γὰρ εἰ δ' ὄνος με ἐλάκτισεν, ἀντιλακτεῖν ἠξιώσατ' ἄν με;

§. ρκβ'. Εἴτι μὴ καλῶς οἶδας, μηδ' ὅλως ἐπιβάλλε λέγειν, ποῦ γὰρ εὔλογον, ἀρξάμενον, εἶτα σκήπτεσθαι λέγοντα· διέφυγέ μου τὴν μνήμην, μέμνημαι μέντοι τοιοῦτον ἀναγνοὺς ἢ ἀκούσας.

§. ρκγ'. Προσοχὴν ἔχε πρὸς τὰ λεγόμενα, ἄτοπον γὰρ διαπυνθάνεσθαι συχνῶς, τί ἐστιν ὃ λέγεις; πῶς φῄς; ἐπιλέλησμαι τῶν ῥηθέντων· μωρῶν γὰρ κατὰ τὸν σοφὸν Σειρὰχ, ἐπὶ τέλει τοῦ λόγου πυνθάνεσθαι τί ἐστι.

§. ρκδ'. Συνείροντος τοῦ περί τινος λόγον, μὴ διάκοπτε εἰδέναι φάσκων, κἄν τε μὴ καλῶς· ἀπαίδευτον γὰρ ἐστὶ κινοῦντα τὴν κεφαλὴν μειδιῶντά τε καὶ τοὺς ὀφθαλμοὺς διαστρέφοντα κατειρωνεύεσθαι· ἀτοπώτερον δὲ τὸ ἐν μέσοις λόγοις ἀντιφθέγγεσθαι, οὐχ οὕτως ἔχει· λέληθέ σε, καὶ τὰ τοιαῦτα.

§. ρκέ. Ἐν λόγοις δὲ, μήτε κατὰ τοὺς κήρυκας γεγωνυίᾳ χρῶ καὶ ὑπερόγκῳ φωνῇ, μήτ' αὖ οὕτω ταπεινῇ καὶ μικρᾷ, ὥστε δυσήκοον εἶναι.

§. ρκς'. Συνοδοιπορῶν δέ τινι, μὴ καθάπερ χαλινοῦ αὐτὸν ἕλκε τοῦ ἱματίου θαμινῶς πρὸς τὴν ἀκρόασιν τῶν λεγομένων· ἀλλ' οὐδ' οὕτως ἐκείνου πλησίον γίγνου, ὥστε πολλάκις προσκροῦσαι τῷ ἀγκῶνι.

§. ρκζ'. Ἀποδοκίμαζε καὶ τὰ διεξοδικὰ τῶν προοιμίων πανταχοῦ μὲν, μᾶλλον δ' ἐν τοῖς καθ' ὁ-

δὸν

δὸν λόγοις, ὅπερ εἰσὶν οἱ πρὸς ἐπίδειξιν δῆθεν ἐπιτηδεύουσι, συγγνώμην προεξαιτοῦντες, σμικρύνοντές τε αὐτοὺς, καὶ οὐχ ἱκανοὺς φάσκοντες, πρὸς τὴν κατ' ἀξίαν τῶν ῥηθησομένων ἔκφρασιν, βεβιάσθαι δὲ τῷ φίλῳ καὶ εἰς τὴν τῶν ὑπὲρ αὐτοῦ ἐπιχείρησιν.

§. ρκη'. Σὺ δ' ἀπροοιμιάστως ἅψαι τοῦ προκειμένου ὡς ἔνεσι γλαφυρότατα, ἐχόμενος τοῦ κατὰ λόγον εἱρμοῦ μέχρι τοῦ τέλους· μηδ' ἀπομηκύνων ὑπὲρ τὴν χρείαν τοὺς λόγους καὶ τοῦ σκοποῦ ἀποπλανώμενος, ἀπαγόρευε δὲ καὶ τὰς πολυλογίας καὶ ἐπαναλήψεις τῶν ῥηθέντων.

§. ρκθ'. Εἰ δέ τις ἀπαιδεύτως ἔχει τῇ γλώττῃ, μηδαμῶς εὐγλωττεῖν, πειράσθω, τὸ δὲ τῆς γλώττης ἐλάττωμα, ἥπερ ἐνδέχεται τῇ σιγῇ περιστελλέτω.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

### Τὰ περὶ τὴν Τράπεζαν.

§. ρλ'.

Πρὸ τῶν ἄλλων πρὸς δεῖπνον εὐτρεπιζομένων, τοῦ χειρονίπτρου σοι μελέτω· εἶτα μὲν παρόντι δέ τινι τῶν Ἱερωμένων συνεπιλαβοῦ τῇ τῶν παρατιθεμένων εὐλογίᾳ· εἰ δὲ μὴ παρῇ, αὐτὸς ἀνακεκαλυμμένῃ κεφαλῇ ἑστὼς, τὴν Κυριακὴν Εὐχὴν προειπὼν, οὕτω τοῦ ἐσθίειν ἄρξαι.

§. ρλα'. Μὴ κνῶ τὸ σῶμα ἐν τῷ δειπνεῖν, ὡς οἷόν τε δὲ καὶ τὸ πτύειν, καὶ τὸ βήττειν, καὶ ἀπομύττεσθαι παραιτοῦ.

§. ρλβ'.

SISMANOGLIO



§. ρλβ'. Εἰ δ' ἔτι τούτων κατεπεῖγον ᾖ, ἀψοφητὶ ἡ χρεία παραμυθείσθω, στρεφομένης τῆς κεφαλῆς εἰς τοὐπίσω· μιαρώτερον δὲ τούτων πολὺ τὸ ἀναιδῶς ἐρυγγάνειν χαίνοντα.

§. ρλγ'. Ἀποτρέπου δὲ καὶ τὸ ἠπειγμένως, καὶ ἄδην ἐσθίειν κατὰ τοὺς λίχνους καὶ προτενθεῖς.

§. ρλδ'. Τὸν δὲ ἄρτον μὴ ταῖς χερσὶν ὥσπερεὶ διασπάραττε, τέμνε δὲ τῇ μαχαίρᾳ, εἰ μή που τέμμαχός σοι παρατεθειμένος ᾖ, ἢ πρόσφατος ᾖ ὁ προσφερόμενος ἄρτος· ὑποβλέπειν μέντοι σοι καὶ ζηλοῦν τοὺς ἀνακειμένους μελέτω, κἂν ἐκεῖνοι χερσὶ τὰ πλείω ἢ μαχαίραις ὦσι χρώμενοι, ἀπᾴδειν ἐκείνοις καὶ ἀντιπράττειν οὐκ εὔγνωμον.

§. ρλε'. Φεῦγε καὶ τὸ τῇ τραπέζῃ ἐπικύπτειν, κἀκεῖ τοὺς ἀγκῶνας ἐπιτιθέναι· φυλάττου δὲ καὶ τὸ σιτίων τὸ στόμα πιμπλάναι, ὥστε τὰς παρειὰς ἐξοιδεῖν καὶ εἰς ὄγκον αἴρεσθαι οὐκ εὐσχήμονα, μηδὲ τὸν ψωμὸν προεμβάπτων τῷ οἴνῳ προσφέρου· οἰκοδεσπότῃ δὲ καὶ ἀσθενοῦντι οὐκ ἀπηγόρευται τοῦτο.

§. ρλς'. Μηδέποτε ἐπὶ δείπνῳ σαυτὸν καταφανῆ ποιήσῃς τοῖς ἐδέσμασιν, ἢ πόμασιν ἀρεσκόμενον, ἀλλ' οὐδὲ ἐπαίνους συνείρειν τῶν προτεθέντων, ἢ διαμέμφεσθαί σοι ἐξέστω· εἰ δὲ ὁ ἑστιάτωρ πύθοιτο, μετὰ συνέσεως καὶ ἐπιεικείας τὸ δοκοῦν ὡς ἔνεσι φθέγξαι.

§. ρλζ'. Ὡς φορτικὸν δὲ καὶ τὸ πλείω προσεπιζητεῖν, καὶ τὸ ἐγκελεύειν διὰ τάχους πάντα παραθεῖναι· προπετείας γὰρ ἅμα καὶ ἀφρασύνης ἐστί.

§. ρλη΄. Ἀλῶν δὲ χρείας σοι ἐπιγενομένης, μὴ τοῖς δακτύλοις, ἀλλὰ τῇ τοῦ μαχαιριδίου ἀκωκῇ ἀνελόμενος κέχρησο, προαπομόρξας αὐτὴν τῷ χειρομάκτρῳ, ἢ ὥσπερ ἔνιοι φιλοῦσι ψωμοῦ τεμμάχει· τὸ γὰρ διὰ βάθους περιπείρειν τῷ ἄρτῳ τὸ μαχαιρίδιον, προσεπιτρίβειν τε δῆθεν ἐπὶ καθάρσει, ἀπεμφαῖνον καὶ ἄτοπον.

§. ρλθ΄. Ἑστίασιν δέ ποτε προθεὶς, μερίδας ἑκάστῳ τῶν συσσίτων παράθες, οἷς καὶ τὰς κρείττους νέμε μερίδας.

§. ρμ΄. Εἰς θοίνην δέ ποτε κληθεὶς, περίμενον, ἔστ᾽ ἂν ὁ ἑστιάτωρ, ἢ ὁ τραπεζοκόμος παρ᾽ ἐκείνου ταχθεὶς ἐξέληταί σοι μερίδα· εἰ μήπου ὁ τὸ δεῖπνον παρασκευάσας ἑκὼν προτρέψηται πάντας τοὺς συνελθόντας, ἐνδοὺς ᾗ φίλον ἑκάστῳ χρήσασθαι τοῖς ἐδέσμασι.

§. ρμα΄. Οὐκ εὐπρεπὲς καὶ τὸ ἐμφυσῶντα τῷ στόματι τὰ ἐδέσματα τὸ ἐν αὐτοῖς θερμὸν ἀπωθεῖσθαι· ἀνθ᾽ ὅτου μικρὸν περίμεινον, ἔστ᾽ ἂν τὴν ἐπίτασιν τῆς θερμότητος καταβεβληκότα, οἷά τε γένηται προσφέρεσθαι τῷ στόματι· εἰ δὲ ζωμὸς ᾖ, ἐξέστω μετρίως κυκῶντα τῷ δοίδυκι ἐξατμίζειν κατὰ μικρὸν τὴν θερμότητα. Ἄτοπον δὲ καὶ τὸ μετὰ χεῖρας ἀνελόμενον τὸ τρυβλίον ἀπορροφᾶν τοῦ ζωμοῦ, ἐξὸν τῷ κοχλιαρίῳ χρῆσθαι.

§. ρμβ΄. Μηδὲ τῇ ῥινὶ τὰ βρώματα πρόσφερε, ἀποπειρώμενος δῆθεν ὅπως ὀσμῆς ἔχοι· ὃ δέ ποτε προσαγόμενος τύχοις, μηδενὶ τῶν συνδιαιτωμένων μετὰ τοῦτο παραθῇς. Τὰς ἐνθέσεις μετρίας ποιοῦ· σκαιὸν γὰρ ὑπερπληροῦντα τὸ στόμα τάς τε παρειὰς ὑπεροιδεῖν, κάμνειν τε πρὸς τὸ μασᾶσθαι τὴν τροφὴν καὶ λεαίνειν.





§. ρμγ΄. Ἐμβάψας δὲ τῶν ὑδαρῶν βρωμάτων τινὶ τὸν ψωμὸν, καὶ τῷ στόματι προσενεγκὼν, καὶ δακὼν, μὴ καὶ δεύτερον τὸν αὐτὸν ἐμβάψῃς· ἐλάττωσι δὲ χρῶ ταῖς ἐνθέσεσιν, ὡς εἶναι τὴν πρώτην καταβροχθίσαι.

§. ρμδ΄. Ἄτοπον δὲ καὶ τὸ τὰ ὀστᾶ τῶν βεβρωμένων κρεῶν τε καὶ ὀπωρῶν ὑπὸ τῇ τραπέζῃ ῥίπτειν.

§. ρμε΄. Εἰ τοῦ γεύσαιο τῶν στυφόντων καὶ λυπούντων τῇ θίξει τὴν γεῦσιν, καὶ ἀποπτύσαι χρήζεις, μετὰ πολλῆς ὡς οἷόν τε τοῦτο ποίησον εὐκοσμίας, λαβόμενος τοῖς δυσὶ τῆς εὐωνύμου δακτύλοις, καὶ σεμνῶς ἄγαν ἀποσεισάμενος, ὡς μὴ τοὺς συνανακειμένους εἰς ἀηδίαν προκαλέσῃς. Τῶν ὑδαρῶν δὲ ὂν, ῥᾴδιον ἀποπτύσαι, ὡς ἐγχωρεῖ μέντοι λαθὼν τοὺς συνδαιταλεῖς, καὶ πορρωτέρω γενόμενος τοῦτο ποίησαι.

§. ρμς΄. Καὶ τοὺς πυρῆνας δὲ τῶν ὀπωρῶν μὴ ἀπόπτυε κατὰ τῆς τραπέζης εἰς τὴν παροψίδα, ἀλλὰ τῇ χειρὶ σεμνῶς λαβόμενος κατάθου.

§. ρμζ΄. Ἄγροικον δὲ καὶ τὸ κατέχειν τὴν μάχαιραν δι᾽ ὅλης τῆς θοίνης· καὶ ταύτῃ πείροντα τὰ σιτία προσάγειν τῷ στόματι.

§. ρμη΄. Τὰ παρατεθειμένα τοῖς λοιποῖς μὴ πυκνῶς ὑπόβλεπε· ἐσθίων δὲ καὶ πίνων μὴ περίβλεπε κατὰ τοὺς ἀνοήτους, ἐν κύκλῳ ἐπιβάλλων τὰς ὄψεις, τοῖς παρεστῶσι τῶν λειτουργῶν καὶ τοῖς συνδαιτυμόσι.

§. ρμθ΄. Βδελυρὸν ἐστὶ τῇ ἐπιτραπεζίῳ ὀθόνῃ τὸν ἱδρῶτα ἀποψύχειν, ἢ ἀπομύττεσθαι τοῖς χειρομάκτροις· ἀπομάττεσθαι δὲ τούτοις τὰς παροψίδας καὶ τὰς χεῖρας, καὶ οὕτως αὖθις ἀναλαμβάνειν τοῖς γόνασι.

§. ρν΄. Μηδέποτε ἑτέρῳ δῷς εἰς ἐδωδὴν, οὗ αὐτῷ σόματι γεύσῃ, σιτίου ὁμοίως ϗ ποτοῦ.

§. ρνα΄. Μὴ λεῖχε τοὺς δακτύλους, ἀλλ᾽ ὡς ἔνεσι καθαροὺς τήρει, κοχλιαρίοις ἢ δικράνοις χρώμενος· δεῆσαν δέ ποτε, χειρομάκτρῳ ἀπόμασσε ἰδίῳ.

§. ρνβ΄. Ἐσθίων μὴ πρίε τοὺς ὀδόντας, μηδὲ πίνων ἐκρόφει ὥστε ἦχον ποιεῖν, καὶ ἐν τῷ μασσᾶσθαι τὰ σιτία τὴν πρὸς ἄλληλα τῶν χειλέων πλῆξιν διευλαβοῦ.

§. ρνγ΄. Ἥκιστα κόσμιον ἐν τοῖς ὀστέοις ἐκμυζᾶν μυελὸν, ἢ ἄλλως προκαλούμενον ἐσθίειν, περιλείχειν τε τὰ ὀστᾶ κατὰ τοὺς κύνας, ἢ τοῖς ὀδοῦσι συνθλᾶν ἐπ᾽ ἐδωδῇ τοῦ μυελοῦ. Ὁμοίως ἄτοπον καὶ τὸ κατακταπῶν τρωγαλίων οἷα κάρυα καὶ ἀμύγδαλα τοῖς ὀδοῦσι πιέζοντα συνθλᾶν· ἁρπακτικοῦ δὲ τρόπου τὸ παραδραμόντα τὰ παρατεθειμένα, τοῖς παρὰ τοῖς ἄλλοις χεῖρας ἐπιβάλλειν, ἢ τὴν μείζω καὶ κρείττω τῶν μερίδων ἐξαίρειν ἑαυτῷ· κἂν ὀπῶραι προκέοιντο, ἀγάπα ταῖς προσυχούσαις· αἰσχρὸν γὰρ τῇ χειρὶ πάσας ἐπελθόντα τὴν καλλίστην ἀνελέσθαι.

§. ρνδ΄. Παραιτοῦ δὲ καὶ τὸ τὸν κώθωνα ὑπερπληροῦν, ὥστε καταβρέχειν τὴν τράπεζαν καὶ τὰ παρακείμενα.

§. ρνε΄. Μήτε πιεῖν αἴτει, ἀλλ᾽ οὐδὲ λόγων ἄρχου σόματι πεπλησμένῳ· πίνοντος δὲ τοῦ παρακαθημένου, ἢ τοῦ προϊσαμένου, ἔπεχε σὺ τοὺς λόγους τε ϗ τὴν πόσιν.

§. ρνς΄. Ἄτοπον δὲ ϗ τὸ περικλύζοντα τὸ σόμα πίνειν τὸν οἶνον· καὶ πίνων δὲ μὴ ἀφίστασο

τῆς

SISMANOGLIO



τῆς μετριότητος, τότε κατεπειγμένον, ϗ τὸ λίαν σχολαῖον ἀποποιούμενος ἐν τῇ πόσει.

§. ρνζ΄. Ἀπόματτε δὲ πρό τε τῆς πόσεως καὶ μετ᾽ ἐκείνην τὸ σόμα, μηδὲ μετὰ τὸ πιεῖν ἠχώδη ϗ μακροτέραν ποίει τὴν ἐκπνοήν· ἀγροῖκον γάρ. Πίνων δὲ μὴ διαλείμμασι χρῶ συγχνοῖς, μηδὲ τὸ ἀκροῤῥίνιον καθεὶς τῇ κύλικι ἐναπόπλυνε, μήτε τῷ ἐπιτραπεζίῳ χειρομάκτρῳ, μήτε τῷ μαχαιριδίῳ, ἢ τοῖς ὄνυξιν ἐν δείπνῳ κάθαρε τοὺς ὀδόντας, ἀλλὰ τῷ ὀδοντοξέσῃ, ϗ τοῦτο εἰ ϗ τοὺς συνδείπνους ἴδοις ποιοῦντας.

§. ρνη΄. Οὐκ ἐπαινεῖται, ἀλλὰ καὶ ἀηδές ἐστὶ, συχνῶς προτρέπειν ἐπὶ τὸ σιτεῖσθαι τοὺς κεκλημένους· ἀφαιροῖο γὰρ αὖ τῇ πολλῇ ἐγκελεύσει, ἣν αὐτοῖς παρεσχηκὼς εἶ πρὸς τὸ εὐφρανθῆναι ἄδειαν.

§. ρνθ΄. Πίνειν δὲ προθυμούμενος, μὴ καὶ τοὺς ἄλλους εἰς πολυποσίαν προκαλοῦ· εἰδὲ σέ τινες ἄλλοι προκαλοῖντο, κομψῶς χάριτας αὐτοῖς ὡμολογηκὼς, ἀσθένειαν πρὸς οἶνον σαυτοῦ καταιτιῶ. Χαρίζεσθαι δὲ βουλόμενος, μετὰ χεῖρας τὸ ἔκπωμα λαβὼν, ϗ ἀπογευσάμενος ἀπόδος, εἰ μήπου ποτὲ ἅμιλλα εἴη πολυποσίας, καὶ τὸ ἀποδοῦναι ἐν αἰσχρῷ κεῖνεται.

§. ρξ΄. Μηδενὶ βίαν ἐπιθῇς πίνειν ἄκοντα, παραιτοῦ δὲ τὸ βάρβαρον ϗ ἀγενὲς ἔθος, ὃ πρὸς φιλοφροσύνην δῆθεν ἔνιοι πράττουσι, χέοντες κατὰ τῶν ἱματίων τὸ μὴ ποθέν· τοῦτο δὲ σαφὴς σκαιότητος ἔλεγχος.

§. ρξα΄. Εὐθὺς ἀπὸ δείπνου μὴ πρὸς ὕπνον τραπῇς, μᾶλλον δὲ τοιαύτῃ περί τε τὸ φαγεῖν καὶ τὸ πιεῖν διαίτῃ χρῶ, ὡς μὴ ἀδυνάτως ἔχειν πρὸς



τὰς

τὰς συνήθεις καὶ ἀναγκαίας ἐνεργείας μετὰ τὸ δεῖπνον.

§. ρξβ΄. Λίχνοις καὶ κοιλιοδούλοις πάρες τὸ ὑπερκορεῖς γίνεσθαι· ἀλλὰ τὸ μέτριον ὥσπερ ἐν πᾶσι κἂν τοῖς βρώμασι στέργε, ἀεί τι καταλείπων ἐν ταῖς λοπᾶσι, μηδ' ἀπομάττων αὐτὰς ἄρτου τεμμαχίῳ.

§. ρξγ΄. Οἱ δὲ ἐπιτράπεζοι λόγοι τῷ τε χρόνῳ πρόσφοροι ἔστων, καὶ μετὰ συμμετρίας, ὡς μὴ ἀπασχολεῖν τοῦ σιτεῖσθαι.

§. ρξδ΄. Ἐν δὲ πλήθει βρωμάτων, μὴ τῶν βελτιόνων ἐμφορεῖσθαι σπεῦδε, ἀλλὰ πάντων ἅπτου· παυσαμένους δὲ τοὺς συνδείπνους τοῦ ἐσθίειν αἰσθόμενος, καταλῦσαι καὶ σὺ τὸ ἐμφορεῖσθαι ἐπείχθητι, ὡς μὴ δόξαν ἀπληστίας ὀφλήσῃς.

§. ρξε΄. Θρασὺ μὲν ἐπίστασο τὰς προεδρείας ἐν δείπνοις διώκειν· εἰ δὲ προκαλοῖτο ὁ ἑστιάτωρ, καὶ τὸ ἀξίωμα πείθει, ἐπίνευσον κληθείς, μηδὲ ἐπὶ πολὺ ἀντίλεγε.

§. ρξς΄. Ἥκιστα δέον ἐστί, κύλικος ἐν θαλείαις περισοβουμένης, ἐφ' ἑκάστῃ ἀσπασμοῖς πρὸς τὸν αὐτὸν χρῆσθαι, ἀρκεῖ δὲ εἰπόντα ἐπὶ τῇ πρώτῃ, ἀφώνως τὰς λοιπὰς καταφέρειν. Εἰ μήπου παρόντι τινὶ ἢ ἀπόντι, φιλοτησίας προπίνειν δόξῃ· τοιαῦτα γὰρ ἔξεστι καὶ μακροτέροις χρήσασθαι λόγοις.

§. ρξζ΄. Πανταχοῦ μὲν ἀπαίσιον ὁ θυμός, οὐχ ἥκιστα δὲ ἐν συμποσίῳ· εἰ δέ τι ἐρεθίζον εἰς ὀργὴν προκαλέσηται, ταμίευσαι εἰς δέον τοιαῦτα κοιμήσας· μάλιστα τοῦτο φυλάξῃ συνδειπνῶν ἀγνώστοις.

ΚΕ-



## ΚΕΦΑΛΑΙΟΝ Θ΄.

### Πῶς χρηστέον τοῖς φίλοις.

§. ρξη΄.

Ὅσῳ ἀναγκαιότατον τοσούτῳ ἐν τοῖς μάλιστα δυσχερέστατον τὸ περὶ φιλίας κεφάλαιον· καὶ γὰρ ταῖς διαφοραῖς τῶν προσώπων, τῶν τε καιρῶν, καὶ τῶν χρειῶν τὰ τῆς φιλίας διακρίνεσθαι πέφυκεν, οὐ μὴν ἀλλὰ καὶ πολλοῖς ἄλλοις περὶ τούτου πλεῖστα πεπραγμάτευται, τῷ τε γὰρ ῥήτορι Ἰσοκράτῃ, καὶ Θεμιστίῳ τῷ σοφῷ ἀποχρώντως περὶ τούτου διείληπται, καὶ πρὸ τούτων οἱ ἐν τῇ Ἱερᾷ Γραφῇ, ὅ, τε Σολομών, καὶ ὁ Σειρὰχ οὐκ ὀλίγα περὶ φίλων εἰσὶν εἰρηκότες, ἀφ' ὧν τοῖς φιλεργοῖς κατὰ τὰς μελίττας πάρεστι τὰ δέοντα ἀναλέξασθαι. Ὅθεν ἡμῖν ἐν τῷ παρόντι ἐπελθεῖν μόνον ἔγνωσται, ὅσα νύξει πρὸς τὴν τοῦ δέοντος ἐνέργειαν τούς γε φιλοπονωτέρους, καὶ τοῖς σοφωτέροις ἀφορμὴν παρέξει, πρὸς τὸ βέλτιον ὑποθέσθαι.

§. ρξθ΄. Ἀεὶ ἐν μνήμῃ δῆτα περίφερε τὸ σοφὸν ἐκεῖνο τοῦ Σαμίου παράγγελμα, μὴ παντὶ ἐμβάλλειν δεξιάν, ὃ δηλοῖ μὴ τάχιστα καὶ εἰκῇ τῷ τυχόντι προσεταιρίζεσθαι, μηδὲ τυφλῷ, ὃ λέγεται ποδὶ τῷ καταλόγῳ τῶν φίλων ἐγγράφειν οἵτινας οὖν, οὗ σοι μεταμελήσοι ποτέ.

§. ρό. Αἱροῦ ὀλίγους ἔχων φίλους, ἄφιλος καὶ ἀκοινώνητος καλεῖσθαι, ἢ πολλοὺς ἔχων ἑταιρικὸν ζῆν βίον, τοῖς ἀντιφώνοις αὐτῶν ἤθεσι συνᾴδειν, καὶ σαυτὸν συνεξομοιοῦν βιαζόμενος· μηδὲ νόμιζε

πρὸς τοῦ τῶν φίλων ὄχλου πολλὴν ἀπαντᾷν σοι τὴν βοήθειαν, ἐπεὶ καὶ ἀνθυπουργεῖν ἀνάγκην ἕξεις πολλοῖς παρὰ πολλῶν ὑπουργούμενος· ἀλλὰ δὴ τὸ μὲν πειθαρχεῖν εὔνοιαν, ἡ δ᾽ ἀλήθεια μῖσος ἀποτίκτειν πέφυκεν.

§. ροα΄. Οὓς δ᾽ αὖ εἰς τὸν τῶν φίλων ἀριθμὸν προσλάβοιο, μὴ πρὶν κοινώνει τῶν ἀπορρήτων, ἢ τὸν τρόπον εἰς βάθος κατοπτεύσειας, καὶ γὰρ μοχθηροῖς καὶ χαιρεκάκοις τὰ μυστήρια πιστεύσας, τῆς ῥινὸς ἕλκεσθαι μήτῳ λεπτῷ σαυτὸν παρέξεις, καὶ πειθαρχήσεις λοιπὸν ἐκείνοις· μηδὲ πίστευε τῷ, ὅλος εἰμὶ σὸς, εἰ μὴ τοῖς ἔργοις πεισθῇς, περίμενε δὲ τὸν χρόνον τὴν ἀκριβῆ βάσανον φιλίας.

§. ροβ΄. Εἴ τι φίλοις ἐγκαλεῖν ἔχῃς, μὴ κρύπτων ὑπότρεφε τὸ πάθος, μηδὲ μῖσος ἀναλάμβανε ἄλογον, ῥήμην καταδιαιτῶν τῷ φίλῳ, καὶ χώραν διδοὺς ταῖς τῶν βασκάνων διαβολαῖς, οἷς ἔργον ἐκπολεμοῦν καὶ συμβάλλειν τοὺς εὐνοϊκῶς πρὸς ἀλλήλους ἔχοντας· ἀλλὰ μεταπεμψάμενος τὸν φίλον ἀνακάλυψον τὴν ὀργὴν, ἵνα ἢ ἀπολογησαμένῳ συγγνῷς, ἢ ἀναπολογήτῳ μένοντι, δικαίως ὀργίζοιο.

§. ρογ΄. Εἴ τις σοι πρὸς τὸν φίλον ἔρις ἐμπέσοι, μὴ θυμῷ εἴκων ὅ, τι ἂν ἐπ᾽ ἀκαιρίμαν, τοῦτο δὴ τὸ ποιητικὸν, γλῶτταν ἔλθοι, ἀναιδῶς πρόφερε, ἀμνημονῶν φιλίας τῆς πάλαι, καὶ ὁμιλίας, μηδ᾽ ἅπερ ἔτυχέ σοι πιστεύσας ἀπόρρητα, ἔκπυστα ποίει, μεμνημένον ὅτι δεῖ φιλεῖν μὲν ὡς μισήσοντα, μισεῖν δὲ ὡς φιλήσοντα.

§. ροδ΄. Μὴ γλίσχρος ἔσο περὶ τοὺς τῶν φίλων ἐπαίνους, οἷον οἱ πολλοὶ ποιοῦσιν, ἑαυτῶν οἰόμενοι ἀφαιρεῖσθαι, εἴ τι περὶ τῶν φίλων ἀγαθὸν

εἴ-

SISMANOGLIO



εἴποιεν· μηδ᾽ αὖ περιττὸς καὶ δαψιλὴς, ἑκάτερον γὰρ ἐπίμωμον, ἀλλ᾽ ἐπαινῶν εἴ τι προσείη ἐπαινετὸν, ὑποκορίζου τοὺς ψόγους, καὶ διορθοῦσθαι πειρῶ οἴκοι καὶ ἰδίᾳ.

§. ροε΄. Μόνιμος εἶναι ἡ φιλία οὐ δύναται, εἰ μὴ ὁμοιότητι τρόπου συνιστῶτο, ὅθεν οὓς ἂν ὁμοίους σοι εἶναι ὁρῴης, τούτων δίωκε τὸν ἐνόντα τρόπον τὴν φιλίαν· εἰ δὲ σαυτῷ συνειδείοις οὐ καλῶς ἔχοντι τὸν τρόπον, καὶ βιαζόμενος σαυτὸν οἰκειοῦσθαι πειρῶ τοῖς ἐπαινετοῖς τὸν τρόπον, εἰδὼς ὅτι οἷς ἂν ὁμιλοίης, τοιοῦτον ἀποβῆναί σε ἀνάγκη.

§. ροϛ΄. Φορτικοὶ εἰσὶν ἐν τοῖς μάλιστα τῶν φίλων, οἱ τὰς κατατεθείσας εὐποιΐας πρὸς τοὺς φίλους καταλέγοντες καὶ μονονουχὶ ἐξονειδίζοντες, οὐδὲν γὰρ διενήνοχε· δεῖ δὲ τὸν σωφρονοῦντα διδόντα μὲν χάριν αὐτίκα ἐπιλανθάνεσθαι, λαμβάνοντα δὲ ἀεὶ πρὸ ὀφθαλμῶν ἔχειν τὴν μνήμην, κἀκείνῃ συζῆν, καὶ εὐγνώμονα εἶναι.

§. ροζ΄. Δωρεὰν οὐκ ἐλπίδι τοῦ εὖ παθεῖν τὸ φιλίας αἱροῦ χρῆμα· τοῦτο γὰρ καπήλων.

§. ροη΄. Τοῖς αὐτοῖς χαίρειν καὶ τοῖς αὐτοῖς ἀπαρέσκεσθαι, μόνιμος οὐκ ἔστι φιλία.

§. ροθ΄. Μὴ λύσιν φιλίας ποιοῦ τοὺς ἐλέγχους, δικαίως δ᾽ ἐπιτιμώμενος ἀνέχου, εἰλικρινοῦς εὐνοίας τεκμηρίῳ τούτῳ χρώμενος· εἰ δ᾽ ὁ φιλεῖν ἐπαγγελλόμενος ἁμαρτάνοντος ἀνέχοιτο, κόλαξ ὑπολαμβανέσθω, οὐκ εὔνους.

§ ρπ΄. Πρὸ τοῦ φιλῆσαι κρῖνε, φιληθέντα δὲ κρίνων, ἐπιμηθέως ἔργον ποιήσεις· εἰ δέ ποτε τῇ φενάκῃ τῆς ὑποκρίσεως ἀπατηθεὶς, ὃν οὐκ ἐχρῆν φιλήσαις, ἀπόθου φίλον, δι᾽ ὃν αἶσχος τῇ περὶ σὲ προστριβήσεται δόξῃ, καὶ μηδὲν ἀγνώστου σοι διαφερέτω.

§. ρπα΄.

§. ρπά. Ἀγνώμονα φίλον, μήτε εὐποίει, καὶ φιλεῖν ἀπόσχου εἰ σωφρονοίης.

§. ρπβ΄. Μὴ ὑπερόρα φίλους ἐν δυσημερίᾳ, ἀχάριστον γὰρ καὶ καπηλικὸν, ὥσπερ τὰ κενὰ τῶν ἀγγείων ὁ Διογένης ἔλεγε περὶ Διονυσίου τοῦ τυράννου ἀπολακτίζειν, οὓς εὐημεροῦντας ἔσαινες.

§. ρπγ΄. Τὰς τῶν νουνεχῶν φιλίας ἐκ παντὸς τρόπου δίωκε, μὴ τὰς τῶν εὐπόρων καὶ ἡδοναῖς χαιρόντων· παρὰ μὲν γὰρ τῶν, εἰς χρήματα ἐλπίζεις ὠφεληθῆναι, παρὰ δὲ τῶν, εἰς ἀρετὴν ἐπιδώσεις, καὶ ἐκ τῆς τῶν ἀρίστων ὁμιλίας εἰς ζῆλον διεγειρόμενος, οὐ μὴν ἀλλὰ καὶ ἐπαίνους σαυτῷ παρασκευάσεις, οἵοις συνῆς τοιοῦτος ὑποτυπούμενος.

§. ρπδ΄. Μὴ φορτικὸς γίνου καὶ ὀχληρὸς τοῖς φίλοις ταῖς συχναῖς ἐντεύξεσι, καὶ προσρήσεσι· μηδὲ παρ᾽ ὥραν τούτοις πρόσιθι, μὴ ἀνθ᾽ ἧς θηρᾷ φιλίας μῖσος ἐγείρῃς τῷ κόρῳ, μέμνησο τοῦ σοφοῦ, σπάνιον εἰσάγειν πόδα πρὸς φίλον κελεύοντος. Μὴ προσκορὴς ἧς ἀντὶ φίλου, μηδὲ πρὸς τὰς ἐξ ἔθους βλέπων φωνὰς χαρίεσθαι οἴου τῷ φίλῳ, θαμινῶς συνιὼν μάλιστα εἰ καὶ αἰτήσοντι, ἢ καὶ περὶ ὧν πολλάκις ἐντυγχανόμενος, πλὴν εἰμή τις ἀνάγκη ἐπείγῃ· τὰ γὰρ σπάνια εἶναι πέφυκε ποθεινότερα, καὶ πρὸς τὴν ἀπόλαυσιν τῶν διὰ χρόνου βλεπομένων ἀσμενέστεροι πεφύκαμεν προσιέναι.

§. ρπέ. Οὐ μὴν οὐδὲ, εἰ διὰ χρόνου ἐντετυχηκὼς εἴης τῷ φίλῳ, δεῖ τὴν ἄγκυραν, ἤ φασι, καθέντα δυσαπόσπαστον εἶναι· ἐπεὶ δὲ πᾶν μέτρον ἄριστον, ποθεινὸς μᾶλλον αἱροῦ ἀποστῆναι, ἢ προσκορὴς γενόμενος τοῖς μακροῖς καὶ ἀπεράντοις διηγήμασιν, οἷς ἀναγκαῖος ὀπαδὸς ὁ κόρος.

§. ρπς΄.



§. ρπς΄. Ἐξηρήσθω εἰμή ποτε περὶ ἀναγκαίων τινῶν ἢ ὁ λόγος, ὅτε διακόψαντα τὴν συνέχειαν ἀπελθεῖν ἄχροικον, καὶ ἀπεμφαῖνον κρίνεται· πρόσθες ὅτι καὶ πρὸς τοῦ φίλου παρακαλούμενον μεῖναι καὶ κοινωνῆσαι τραπέζης, εἰμήτι προυργιαίτερον ἀνθέλκει, ἀντιτείνειν ἄτοπον.

§. ρπζ΄. Φίλον ἡγοῦ εἰλικρινῆ καὶ πρὸς φιλίαν ἐπιτήδειον, οὐχ ὅστις ἥδεται σαινόμενος, οὐδὲ τὸν ἀεὶ πρὸς τὴν οἰκείαν βούλησιν συγκαθέλκοντα, ἀλλ᾽ ὅστις οἶδέ ποτε καὶ πρὸς τὰς σὰς χρείας συγκατιέναι καὶ εἴκειν παραινοῦντι· ἄλλως γὰρ οὐ φίλον, ἀλλὰ δεσπότην ἕξεις.

§. ρπή. Ἐπιτήδειος εἰς φιλίαν προσείρηται τῷ Σταγειρείτῃ ὁ πλεῖστα εἰδὼς ἀδικεῖσθαι· ὅθεν ἀνοχῆς σοι χρεία εἰ φιλίαν ποθεῖς· οὐ μέντοι πρὸς πάντα, οὐδὲ ὑβριζόμενος ἀνέξῃ σωφρονῶν· οὐδ᾽ αὖ μεμψίμοιρος ἔσῃ περὶ τὴν φιλίαν ὀργιζόμενος, εἰμή σοι προσμειδιῶν προσέβλεψεν ὁ φίλος, εἰμὴ ταῖς προσρήσεσιν ἀφθόνοις ἐχρήσατο· βδελυκτὸς γὰρ ἔσῃ, οὕτως ἀγεννῆ καὶ βωμολογικὰ ἀπαιτῶν, οὐδὲ εἰδὼς οἷς φιλία χαρακτηρίζεται.

§. ρπθ΄. Ἀπόχρη τὴν μὴ κατὰ θυμὸν φιλίαν ἀποθέσθαι, κατὰ μικρὸν ἀποτέμνοντα, καὶ διαλύοντα, τί δὲ δεῖ καὶ ἔχθος ἀναλαμβάνειν, αἰσχρὸν γὰρ ἀπεχθανόμενον φαίνεσθαι, ᾧ περ εὐνοϊκῶς ἐχρήσω ποτε.

§. ρϙ΄. Μὴ δίδου τῷ φίλῳ ἀφορμὰς προσκρούειν, εἰ γὰρ ἀνακοινώσειο ἀνάγκης ἐκτὸς, αὐτῷ τὸ σοὶ διαφέρον ἀπόρρητον, ἴσως ἐκφυγὸν αὐτὸν, αἰτία διαλαγένοιτο μίσους· τήρει δὲ παρὰ σαυτῷ, καὶ διαφυλαβούμενος προσοχῇ πάσῃ τῆς εὐνοίας λυτήρια.

§. ρϙά. Αἱ ὑπερβολικαὶ φιλίαι, ὑπερβολικὰ ἐθ᾽

ἔσθ' ὅτε τίκτουσιν ἔχθη, ὅθεν μέτρῳ φίλει, ἵνα σαθερὰ ᾖ ἡ φιλία.

§. ρνβ'. Ἀχαρίστου κρίνω πρὸς ἀνδρὸς ἐλπίζοντα μὲν εὖ παθεῖν εἴκειν τῷ φίλῳ ϗ σαίνειν, τυχόντα δὲ ὑπερορᾶν.

§. ρνγ'. Φεῦγε παντὶ σθένει, οὐχ ἧττον ἢ ἰὸν ἀσπίδων ἄνδρα ψίθυρον, συγκρούειν πειρώμενον τοὺς ξυνήθεις, μηδὲ προσδέχου τὰς κατὰ τῶν φίλων διαβολὰς ἀσκέπτως.

§. ρνδ'. Πᾶσιν ἔσο χρηστὸς, οὐδενὶ κολακευτικὸς, ὀλίγοις συνήθης, πᾶσιν ἴσος.

ΤΕΛΟΣ.





# ΠΙΝΑΞ
## ΤΩΝ ΜΥΘΩΝ ΑΙΣΩΠΟΥ.

Φύλ.

Ἀδύνατα ἐπαγγελλόμενος. 58
Ἀετός. 111
Ἀετὸς, ϗ Ἀλώπηξ. 51
Ἀετὸς, ϗ Κάνθαρος. 52
Ἀηδὼν, ϗ Ἱέραξ. 53
Αἰθίοψ. 86
Αἴλουρος, ϗ Ἀλεκτρυών. 54
Αἴλουρος, ϗ Μῦες. 64
Ἀλέκτορες. 116
Ἀλεκτρυόνες, ϗ Πέρδιξ. 56
Ἁλιεύς. 57. 59
Ἁλιεύς. 91. 110
Ἁλιεὺς, ϗ Σμαρίς. 107
Ἀλκυών. 90
Ἀλώπεκες. 55
Ἀλώπηξ. 57
Ἀλώπηξ, ϗ Βάτος. 55
Ἀλώπηξ, ϗ Δρυοτόμος. 108
Ἀλώπηξ, ϗ Κροκόδειλος. 56
Ἀλώπηξ, ϗ Λέων. 54. 113
Ἀλώπηξ, ϗ Πίθηκος. 65
Ἀλώπηξ, ϗ Τράγος. 53
Ἀνὴρ, ϗ Γυνή. 94
Ἀνθρακεὺς, ϗ Κναφεύς. 57
Ἄνθρωπος ϗ Ἄγαλμα. 109
Ἄνθρωπος, ϗ Κύων. 109
Ἄνθρωπος, ϗ Σάτυρος. 108
Ἀρνὸς, ϗ Λύκος. 117
Ἀσπάλαξ. 76
Βάτραχοι. 60. 89. 117
Βουκόλος. 110
Βούπαλις. 87
Γαλῆ. 88
Γέρων, ϗ Θάνατος. 61. 116
Γεωργός. 89
Γεωργὸς, ϗ Γέρανος. 138
Γεωργὸς, ϗ Παῖδες αὐτοῦ. 62
Γραῦς, ϗ Ἰατρός. 61
Γυνή. 85
Γυνὴ, ϗ Θεράπαιναι. 87
Γυνὴ, ϗ Ὄρνις. 63
Γυνὴ Μάγος. 88
Δεσπότης, ϗ Κύνες. 62
Ἔλαφος. 80
Ἔλαφος, ϗ Ἄμπελος. 81
Ἔλαφος, ϗ Λέων. 81
Ἔριφος, ϗ Λύκος. 95. 114
Ἑρμῆς. 98
Ἑρμῆς, ϗ Ἀγαλματοποιός. 92
Ἑρμῆς, ϗ Τειρεσίας. 93
Ἐχθροί. 64
Ζεύς. 99
Ἡμίονος. 114
Θύννος, ϗ Δελφίν. 65
Ἰατρὸς, ϗ Νοσῶν. 66. 71
Ἰξευτὴς, ϗ Ἔχις. 66
Ἵππος, ϗ Ὄνος. 78. 107
Κακοπράγμων. 59
Κάλαμος, ϗ Ἐλαία. 115
Κάμηλος. 104
Καρκῖνος, ϗ Ἀλώπηξ. 95
Κάστωρ. 67

| | |
|---|---|
| Κηπουρός, καὶ Κύων. | 82 |
| Κιθαρῳδός. | 95 |
| Κλέπται. | 96 |
| Κολοιός. | 98 |
| Κολοιός, καὶ Περιστεραί. | 97 |
| Κομπαστής. | 58 |
| Κόραξ. | 111 |
| Κόραξ, καὶ Ὄφις. | 97 |
| Κορυδαλός. | 77 |
| Κορώνη, καὶ Κόραξ. | 96 |
| Κορώνη, καὶ Κύων. | 97 |
| Κοχλίαι. | 87 |
| Κύκνος. | 86 |
| Κύνες. | 94 |
| Κυνόδηκτος. | 63 |
| Κύων, καὶ Ἀλεκτρυών. | 68 |
| Κύων, καὶ Λύκος. | 67 |
| Κύων, καὶ Μάγειρος. | 67 |
| Κώνωψ, καὶ Λέων. | 117 |
| Λαγωοί. | 100 |
| Λαγωοί, καὶ Βάτραχοι. | 78 |
| Λέων, καὶ Ἄρκτος. | 69 |
| Λέων, καὶ Βάτραχος. | 69 |
| Λέων, καὶ Λύκος. | 84 |
| Λέων, Ὄνος, καὶ Ἀλώπηξ. | 69 |
| Λύκος, καὶ Γέρανος. | 116 |
| Λύκος, καὶ Γραῦς. | 113 |
| Λύκος, καὶ Πρόβατον. | 99 |
| Μάντις. | 70 |
| Μελιτουργός. | 90 |
| Μονιός, καὶ Ἀλώπηξ. | 77 |
| Μυῖαι. | 92 |
| Μύρμηξ. | 100 |
| Μύρμηξ, καὶ Περιστερά. | 70 |
| Νεανίσκοι, καὶ Μάγειρος. | 63 |
| Νεβρός. | 77 |
| Νυκτερίς, Βάτος, καὶ Αἴθυια. | 71 |
| Νυκτερίς, καὶ Γαλῆ. | 101 |
| Ξυλευόμενος, καὶ Ἑρμῆς. | 72 |
| Ὁδοιπόροι. | 89. 101 |
| Ὁδοιπόρος. | 74 |
| Ὄνοι. | 102 |
| Ὄνος ἄγριος. | 102 |
| Ὄνος, καὶ Ἀλώπηξ. | 102 104 |
| Ὄνος, καὶ Βάτραχοι. | 103 |
| Ὄνος, καὶ Κηπουρός. | 73 |
| Ὄνος, καὶ Λέων. | 82 |
| Ὄνος, καὶ Κόραξ. | 103 |
| Ὀρνιθοθήρας, καὶ Κορυδαλός. | 73 |
| Ὄρνις, καὶ Χελιδών. | 104 |
| Ὄρνις Χρυσοτόκος. | 111 |
| Ὄφις. | 105 |
| Ὄφις, καὶ Γεωργός. | 110 |
| Ὄφις, καὶ Καρκίνος. | 83 |
| Παῖς, καὶ Μήτηρ. | 74 |
| Περιστερά. | 105 |
| Περιστερά, καὶ Κορώνη. | 105 |
| Πίθηκος, καὶ Δελφίς. | 91 |
| Πλούσιος. | 106 |
| Ποιμήν. | 106 |
| Ποιμήν, καὶ Θάλασσα. | 75 |
| Ποιμήν, καὶ Λύκος. | 84 |
| Ῥοιά, καὶ Μηλέα. | 75 |
| Σαλπιγκτής. | 115 |
| Σκώληξ, καὶ Ἀλώπηξ. | 112 |
| Σῦς, καὶ Κύων. | 82 |
| Σφῆκες, καὶ Πέρδικες. | 76 |
| Ταώς, καὶ Κολοιός. | 76 |
| Τέττιξ, καὶ Μύρμηκες. | 112 |
| Ὗς, καὶ Κύων. | 83 |
| Φενάξ. | 60 |
| Φιλάργυρος. | 79 |
| Χελιδὼν καὶ Κορώνη. | 86 |
| Χελώνη, καὶ Ἀετός. | 80 |
| Χῆνες, καὶ Γέρανοι. | 79 |
| Ψύλλα. | 80 |




# ΠΙΝΑΞ

## ΤΩΝ ΕΚΤΟΣ ΤΟΥ ΑΙΣΩΠΟΥ ΜΥΘΩΝ.


| | Φύλ. |
|---|---|
| Μαξίμου τοῦ Πλανούδου Βίος Αἰσώπου. | 3 |
| Γαβρίου Ἕλληνος Μῦθοι διὰ Στίχων. | 119 |
| Ὁμήρου Βατραχομυομαχία. | 131 |
| Ἐπιτάφιον εἰς Ὅμηρον Ἀντιπάτρου Σιδωνίου. | 141 |
| Μάρκου Μουσούρου τοῦ Κρητὸς ὑπόθεσις εἰς Μουσαῖον. | 142 |
| Μουσαίου Ποιητοῦ ἀρχαιοτάτου τὰ κατ' Ἡρὼ, καὶ Λέανδρον. | 143 |
| Ὑπόθεσις τῆς Γαλεομυομαχίας. | 154 |
| Γαλεομυομαχία, ἤτουν Γαλέων, καὶ Μυῶν μάχη. | 155 |
| Ἀφθονίου Σοφιστοῦ περὶ Μύθου. | 168 |
| Τοῦ αὐτοῦ Μῦθος Μυρμήκων, καὶ Τεττίγων. | 168 |
| Φιλοστράτου περὶ Μύθου. | 169 |
| Ἀνθολογία Ἐπιγραμμάτων. | 170 |
| Ἱπποκράτους Ὅρκος. | 177 |
| Ἀγαπητοῦ Διακόνου τῆς τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας Ἔκθεσις Κεφαλαίων Παραινετικῶν πρὸς Ἰουστινιανὸν τὸν Αὐτοκράτορα, περὶ τῶν Καθηκόντων τῷ Βασιλεῖ. | 179 |
| Ἀντωνίου τοῦ Βυζαντίου Χρηστοήθεια, μετενεχθεῖσα ἐκ τῆς Λατινίδος εἰς Ἑλληνικὴν Φράσιν. | 195 |


ΤΕΛΟΣ.

SISMANOGLIO